κατ' οὐταμένην: [illegible] τὸ αἷμα [illegible] —

ἐπισπέσθαι: ἐπακολουθῆσαι [illegible] ὁμοῖος [illegible] —

ἀρχὴ σὺν θεῷ τῶν σχολίων τῆς Ο:

αὐτὰρ ἐπεὶ διὰ σκόλοπας: [illegible] τάφρου [illegible]

πολλοὶ δὲ δάμεν: τοῦτο [illegible] ἔφασαν —

ε. οἱ μὲν δὴ παρ' ὄχεσφιν: [illegible] πεφοβημένοι [illegible] —

ὑπαὶ δείους: [illegible] —

ἔγρετο δὲ Ζεύς: [illegible] —

ἤρατ' ἐπεὶ ῥ' ἔκλινε μάχην κλυτὸς ἐννοσίγαιος·
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην Μυσοῖσιν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα·
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην·
Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν
οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
δῃώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότος ὄσσε κάλυψε.
πλείστους δ' Αἴας εἷλεν Ὀϊλῆος ταχὺς υἱός·
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ. —

## Ἰλιάδος τῆς Ο

Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,
οἳ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες
χλωροὶ ὑπαὶ δείους πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης,
στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς,
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους, μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα·
Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ' ἑταῖροι
ἧαθ', ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι κῆρ ἀπινύσσων
αἷμ' ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε

Ἴδης ἐν κορυφῇσι: [illegible] —

στῆ δ' ἄρ' ἀναΐξας: [illegible] —

τοὺς δὲ κλονέοντας ὄπισθεν: [illegible] —

ἄσθματι: [illegible] —

κῆρ ἀπινύσσων: [illegible] —

δεινὰ δ' ὑπόδρα: [illegible] — κακότεχνος: ὁ ἐπὶ κακῷ τεχνάζων [illegible] — Ἕκτορα δῖον: ὅτι ἀφ' ἑαυτοῦ [illegible] — ἐφόβησε δὲ λαούς: [illegible]

δεινὰ δ' ὑπόδρα ἰδὼν ἥρην πρὸς μῦθον ἔειπεν·
ἦ μάλα δὴ, κακότεχνος, ἀμήχανε, σὸς δόλος, ἥρη
ἕκτορα δῖον ἔπαυσε μάχης· ἐφόβησε δὲ λαούς·
οὐ μὰν οἶδ' εἰ αὖτε κακορραφίης ἀλεγεινῆς,
πρώτη ἐπαύρηαι καί σε πληγῇσιν ἱμάσσω·
ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
χρύσεον ἄρρηκτον· σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
ἐκρέμω· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν ὄλυμπον
λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι
ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει
ἀζηχὴς ὀδύνη ἡρακλῆος θείοιο·
τὸν σὺ ξὺν βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
πέμψας ἐπ' ἀτρύγετον πόντον κακὰ μητιόωσα·
καί μιν ἔπειτα κόωνδ' εὖ ναιομένην ἀπένεικας·
τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις
ἄργος ἐς ἱππόβοτον καὶ πολλά περ ἀθλήσαντα·
τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων·
ὄφρα ἴδῃς ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή
ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ' ἀπάτησας·
ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια ἥρη·
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
καὶ τὸ κατειβόμενον στυγὸς ὕδωρ· ὅς τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι·
σή θ' ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχος αὐτῶν·

κακορραφίης: κακομηχανίας [illegible]

πρώτη ἐπαύρηαι: [illegible]

ἱμάσσω: [illegible]

ὅτε τ' ἐκρέμω: [illegible]

τὸν σὺ ξὺν βορέῃ: [illegible]

ἀπολλήξῃς: [illegible]

ἴστω νῦν τόδε γαῖα: [illegible]

νωΐτερον λέχος: [illegible]

[illegible]

μὴ δι' ἐμὴν ἰότητα: ὡς φιλανθρωπότατη [illegible] ἀπολογουμένη τῆς ἀπάτης, ἀλλὰ διὸ χολᾶ· τούτου καὶ αὐτὴ ἀπολογεῖται· ὁ μειδιάζει. τὸ ἰότητα ἀντὶ τοῦ γνώμῃ :— τειρομένους δ' ἐπὶ νηυσί: ἔλεον ὑπὲρ ἑλλήνων κινεῖ καὶ ὑπεραπολογεῖται ποσειδῶνος :—

παραμυθησαίμην: παραινέσαιμι· συμβουλεύσαιμι· [illegible] τοσοῦτον ἀπέχω τοῦ ἐναντιοῦσθαί σοι ὡς κἀκείνῳ παραινεῖν [illegible] ὅπου ὡς σὺ αὐτῆς ἐπακολουθησάσης τοῖς διὸς βουλήμασιν — μείδησεν: ἢ διὰ τὸ λεχθὲν ἢ διὰ τὸ ἀπολογεῖσθαι καὶ ὑπὲρ ποσειδῶνος ἢ διὰ τὸ ἰδεῖν αὐτὴν δεδοικυῖαν [illegible] ὁ μειδιᾷ :—

βοῶπις: οἱ μὲν καλῶς [illegible] βοῶπις [illegible] τὸ φρονέουσα ἀντὶ τοῦ ὁμονοοῦσα· τὸ καθίζοις, ἀπὸ μέρους ἀντὶ τοῦ ἔσῃ [illegible] :—

κουρίδιον· τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι,
μὴ δι' ἐμὴν ἰότητα ποσειδάων ἐνοσίχθων
πημαίνει τρῶάς τε καὶ ἕκτορα, τοῖσι δ' ἀρήγει·
ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει·
τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν, ἐλέησεν ἀχαιούς·
αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην
τῇ ἴμεν. ᾗ κεν δὴ σὺ κελαινεφὲς ἡγεμονεύῃς·
ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
εἰ μὲν δὴ σύ γ' ἔπειτα βοῶπις πότνια ἥρη
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
τῶ κε ποσειδάων καὶ εἰ μάλα βούλεται ἄλλῃ·
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ·
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν· καὶ δεῦρο κάλεσσον
ἶρίν τ' ἐλθέμεναι καὶ ἀπόλλωνα κλυτότοξον
ὄφρ' ἣ μὲν μετὰ λαὸν ἀχαιῶν χαλκοχιτώνων
ἔλθῃ· καὶ εἴπῃσι ποσειδάωνι ἄνακτι·
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι·
ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς φοῖβος ἀπόλλων·
αὖτις δ' ἐμπνεύσῃσι μένος· λελάθῃ δ' ὀδυνάων
αἳ νῦν μιν τείρουσι κατὰ φρένας· αὐτὰρ ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φύζαν ἐνόρσας·
φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι
πηλεΐδεω ἀχιλῆος· ὁ δ' ἀναστήσει ὃν ἑταῖρον
πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος ἕκτωρ
ἰλίου προπάροιθε πολέας ὀλέσαντ' αἰζηούς.

τὸ ἡμέτερον φησί [illegible]

ταύτῃ προελθεῖν ᾗ ἂν κελεύῃς σύ, ἢ ὅπου ἂν σὺ ἡγεμονεύῃς χωρεῖν

ὑπόθεσις [illegible] τὸ ἔπειτα ἀντὶ τοῦ δή, [illegible]

ἀντὶ τοῦ [illegible]

[illegible] πρὸς τὸ ἃ ὑπήκοοι [illegible]

[illegible] ἐπὶ τὰς ναῦς [illegible] καὶ [illegible] πέσωσι φεύγοντες ἀχαιοί

[illegible] ἀχιλλέως [illegible] πέσωσι

μετὰ σὸν καὶ ἐμὸν κῆρ: ὑπαλλακτικῶς [illegible] ἀντὶ τοῦ ἐπὶ τὰ ὑπὸ σοῦ καὶ ἐμοῦ προαιρούμενα καὶ νοούμενα :—

κλυτότοξον: τινὲς λέγουσιν αὐτὸν [illegible] ἀλλὰ [illegible] :—

ὄφρ' ἣ μὲν μετὰ λαόν: ἀθετοῦνται [illegible] οὐ [illegible] καὶ ἐν [illegible] ἀπολογεῖσθαι [illegible] ἀρχαῖοι [illegible] πληρωθῆναι [illegible] ἴσον ἐμοὶ φρονέουσα [illegible] πρακτικὰ αὐτῇ καθ' ἑαυτήν [illegible] ἐποίησεν [illegible] τοὺς [illegible] ὡς φαμὲν [illegible] χαρακτῆρα [illegible] ἀπόλλωνος [illegible] ὥστε [illegible] Ἕκτορα [illegible] ἀλλ' [illegible] ἐπεὶ [illegible] πρὸς [illegible] ταῦτα πράξαντες [illegible] κρατήσουσιν :—

πρὸς δώμαθ' ἱκέσθαι: [illegible]

ὁ δ' ἀναστήσει ὃν ἑταῖρον πάτροκλον: [illegible] οὐ γὰρ [illegible] ποιεῖ [illegible] καὶ τὸ ἐξ ἀρχῆς προοίμιον λέγομεν :—

∴ [illegible]

ἐκ τοῦ δ' ἄν τοι· οὐ τοίνυν· ἀλλὰ μετὰ τὸ ἀπολέσθαι πάτροκλον τὴν ἐπ' ἐμὲ ποιήσω [illegible] νηῶν· παλίωξιν καλεῖ αὐτήν: — Ἴλιον αἰπύ· [illegible] ὁποῖον τινὰ [illegible] Ἴλιον ἐκπορθήσωσιν: × παύω· οὔτ' ἂν ἐγὼ τοῦ [illegible] χόλον [illegible] ὅπερ ὡς ποιήσει [illegible] [illegible] τὴν Ἥραν: × ἐνθάδ' ἐάσω· [illegible] ἐνθάδε: — ὥς οἱ ὑπέστην πρῶτον· καὶ μὴν Θέτιδι ὑπέσχετο [illegible] ἀρίσταρχος [illegible] οὐδέποτε [illegible] τοῖς ἀχαιοῖς ἀχιλλέα: — κάρητι· τινὲς ἀπὸ τοῦ κάρη· ἀρίσταρχος κάρη· ὡς [illegible]: × ὣς ἔφατ' οὐδ' ἀπίθησε· τινὲς μετὰ τοῦτον [illegible] ὑπὸ τὸ [illegible] νόος [illegible] βῆ δὲ κατ' Ἰδαίων· [illegible] ἀπὸ [illegible] ἐπὶ τὸ [illegible] ἡ δίοδος: — ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος· ὡς ἄλλοις [illegible] νόημα· ὧδε [illegible] τεῖχος [illegible] ἀνδρός: —

τοὺς ἄλλους· μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον·
τὸν πάτροκλον
τὸν δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς·
ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς εἰς ὅ κ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς·
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτέ τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω·
πρίν γε τὸ Πηλεΐδαο τελευτηθῆναι ἐέλδωρ·
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι
ἤματι τῷ ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων
[illegible] Ἴλιον [illegible] αὐτὸν [illegible] ἀχιλλέα πολλὰ
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον·
Ὣς ἔφατ' οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον·
ὡς δ' ὅτ' ἂν ἀΐξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλὴν
γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ·
ἔνθ' εἴην ἢ ἔνθα· μενοινήσειέ τε πολλά,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
ἵκετο δ' αἰπὺν Ὄλυμπον· ὁμηγερέεσσι δ' ἐπῆλθεν
ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες
πάντες ἀνήϊξαν, καὶ δεικανόωντο δέπασσι·
ἡ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρήῳ
δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα·
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Ἥρη τίπτε βέβηκας; ἀτυζομένῃ δὲ ἔοικας·
[illegible] ὁμοιόνη [illegible]
ἦ μάλα δή σ' ἐφόβησε Κρόνου πάϊς ὅς τοι ἀκοίτης.
Τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος Ἥρη·
μή με θεὰ Θέμι ταῦτα διείρεο· οἶσθα καὶ αὐτὴ

ἔνθ' εἴην· ἀρίσταρχος ἀντὶ τοῦ [illegible] ἐκ τοῦ [illegible] τοῦ ἀνδρὸς δηλονότι λέγοντος [illegible] —

ἔνθ' εἴην ἢ ἔνθα· τὸ [illegible] ἀρίσταρχος [illegible] ὑπάρχ[illegible] ὡς αὐτοῦ τοῦ ἀνδρὸς [illegible] οἷον [illegible] οὐδὲν [illegible] κείνην τὴν χώραν [illegible]: ×

μενοινήσειέ τε πολλά· ὁ ἀνὴρ δηλονότι πολλὰ [illegible] ὡς νοήσῃ: —

ἵκετο δ' αἰπὺν Ὄλυμπον· ὁμηγερέεσσι δ' ἐπῆλθεν· [illegible] θεοῖσι [illegible] ὡς [illegible] [illegible]: —

πάντες ἀνήϊξαν· ἀπὸ τοῦ [illegible] ἀκροθέ[illegible] [illegible] τινὲς [illegible] αὐτοῦ δέπασσιν [illegible] ὑπὸ τοῦ [illegible] δέκτο δέπας: —

δέκτο δέπας· οὐχὶ τοῖς ἄλλοις ἡ τίμιος [illegible] ταύτην προὐκρίθη· ἀλλ' ἐπεὶ θεὸς ἐστὶ τοῖς λοιποῖς· διὸ [illegible] αὐτὴ [illegible] τὸ δέπας: —

θέουσα· ἀντὶ [illegible] ἀκατάσχετον [illegible] [illegible] ἐπὶ [illegible] ὑποθ[illegible] [illegible]: —

ἀτυζομένῃ δὲ ἔοικας· σημαίνει [illegible] τὴν [illegible] [illegible] ἀκολούθως [illegible] τῆς αὐτῆς: —

ὑπερφίαλος: [illegible]

ἄρχε θεοῖσι: [illegible]

πιφαύσκεται: [illegible]

εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων: [illegible]

ἡ δ' ἐγέλασσε χείλεσιν: [illegible]

ἰάνθη: [illegible] χαρᾷ [illegible]

πᾶσι δὲ νεμεσσηθεῖσα: [illegible]

μενεαίνομεν: [illegible]

ἢ ἔτι μιν μέμαμεν: [illegible]

ὁ δ' ἀφήμενος: [illegible]

κάρτεΐ τε σθένεΐ τε: [illegible]

τῷ ἔχεθ': [illegible]

οὐ νεμεσήσετε: [illegible]

ὀλοφυρόμενος: [illegible]

[illegible]

ζευγνύμεν: [illegible]

οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής·
ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης·
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν·
οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· οὐδέ τί φημι
πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν· οὔτε βροτοῖσιν
οὔτε θεοῖς· εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη·
ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοί· ἡ δ' ἐγέλασσε
χείλεσιν· οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
ἰάνθη· πᾶσι δὲ νεμεσσηθεῖσα προσηύδα·
νήπιοι οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες·
ἢ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἆσσον ἰόντες
ἢ ἔπει ἠὲ βίῃ· ὁ δ' ἀφήμενος οὐκ ἀλεγίζει
οὐδ' ὄθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
τῷ ἔχεθ' ὅττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ·
ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι φίλτατος ἀνδρῶν
Ἀσκάλαφος· τόν φησιν ὃν ἔμμεναι ὄβριμος Ἄρης.
Ὣς ἔφατ'· αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος δὲ προσηύδα·
μὴ νῦν μοι νεμεσήσετ' Ὀλύμπια δώματ' ἔχοντες
τείσασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ,
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν.
Ὣς φάτο· καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε
ζευγνύμεν· αὐτὸς δ' ἔντε' ἐδύσετο παμφανόωντα.

Δεῖμόν τε Φόβον τε: [illegible]

περιδείσασα: ἀντὶ τοῦ πάντη [illegible] ὡς δεδοικυῖα τὴν πρᾶξιν [illegible] ὁ θρασὺς [illegible]: —
λίπε δὲ θρόνον ἔνθα θάασσε: [illegible]: — ἀπὸ μὲν κεφαλῆς: [illegible] ἀπὸ κρατὸς κυνέην
καὶ σάκος ὤμοιϊν, δόρυ δ' ἐκ χειρὸς [illegible] δῆλον ὅτι ὡς ἀφοπλίζουσα τὸν Ἄρεα ταῦτα λέγει· οὐ γὰρ [illegible]: —
ἣ δ' ἐπέεσσι: ὅτι [illegible] ὁμοίως· αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο· [illegible] ἣ δὲ χιτῶν' ἐνδῦσα Διὸς [illegible]
[illegible] καὶ τὸ πρακτικὸν [illegible] ἔργον [illegible] προσέβαλε: — μαινόμενε φρένας ἠλὲ διέφθορας: οὕτω [illegible]
[illegible] τὰς φρένας ἠλὲ [illegible] διέφθορας· ἀλλ' ὅλον [illegible] τὰς φρένας ἠλὲ διέφθορας· ἵνα ᾖ τὰς φρένας διέφθορας καὶ

τοῦ πρὸς οὐρανὸν [illegible] χόλος
ἔνθα κ' ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
τὸ παρὰ Διὸς ὁ χόλος μῆνις
πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
εἰ μὴ Ἀθήνη πᾶσι περιδείσασα θεοῖσιν
ἐξῆλθε [illegible]
ὦρτο διὲκ προθύρου· λίπε δὲ θρόνον ἔνθα θάασσε·
τοῦ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο καὶ σάκος ὤμων,
ἔγχος δ' ἔστησε στιβαρῆς ἐκ χειρὸς ἑλοῦσα
χάλκεον· ἣ δ' ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
[illegible] διέφθορας [illegible]
μαινόμενε φρένας ἠλὲ διέφθορας· ἦ νύ τοι αὔτως
οὔατ' ἀκουέμεν ἐστί· νόος δ' ἀπόλωλε καὶ αἰδώς.
ἀκούεις
οὐκ ἀΐεις ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη,
ἣ δὴ νῦν παρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
ἀποπληρώσας [illegible]
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ
ἂψ ἴμεν Οὔλυμπόνδε καὶ ἀχνύμενός περ ἀνάγκῃ,
ἐμποιῆσαι
αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
λείψει· ὁ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον·
μάρψει δ' ἑξείης ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί.
τῶ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
[illegible]
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων
ἐφονεύθη
ἢ πέφατ', ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
παραφυλάττειν καὶ σῶσαι
πάντων ἀνθρώπων ῥύσθαι γενεήν τε τόκον τε.
ὣς εἰποῦσ' ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτὸς
μετάγγελος ἐν θεοῖς· [illegible]
Ἶρίν θ', ἥ τε θεοῖσι μετάγγελος ἀθανάτοισι,
καί σφεας φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
[illegible] εἰς τὴν Ἴδην [illegible] ὡς τάχιστα
Ζεὺς σφὼ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὅττι τάχιστα·
αὐτὰρ ἐπὴν ἔλθητε Διός τ' εἰς ὦπα ἴδησθε,

ὄλεσας αὐτός [illegible] περὶ τὸ μαινόμενε [illegible]. ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν [illegible] πρὸς τὸ δὲ φρένας ἠλέ. νόος δ' ἀπόλωλε καὶ αἰδώς· ἵνα ᾖ τὸ ἠλὲ [illegible] πρὸς ὃ ἀμφοτέρας τὸ αἰδώς· οἱ γὰρ θεομάχοι ἀναιδεῖς [illegible] ὥσκαλε [illegible] ἀποκοπή [illegible] συγκοπή [illegible] ἠλεὸν [illegible] ἢ παρὰ τὴν ἄλην [illegible] ὃν πάντες ἀλευόμεθα· [illegible] φρένας ἠλέ [illegible] πλανώμενε τὰς φρένας: —

ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν ἐστί: ἤγουν μάτην ἀκούειν εἰσὶ τὰ ὦτα· οὐ μήν τοι τὰ ἀκουόμενα διακρίνει: —

κακὸν μέγα πᾶσι: ὅτι Ἀριστοφάνους ἢ Ζηνοδότου· θεοῖς μέγα πῆμα φυτεῦσαι: —

μάρψει δ' ἑξείης ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί: ὁ γὰρ τοιοῦτος ἀνὴρ ἀνδρῶν τῶν θεῶν τε ἐπιτήδειος εἰς δέος ἄρεος· καὶ τὸ γὰρ τοῖς ἄρχουσι [illegible] τὸ μάρψει [illegible] μάρψει [illegible] καὶ μάρψασθαι τὸ λαβεῖν μετὰ βίας: —

μεθέμεν χόλον υἷος ἑῆος: τοῦ ὑπὲρ τοῦ παιδὸς χόλου. διδάσκει δὲ τὸ [illegible] πρᾴως φέρειν καὶ κατὰ θεῶν ὁ παρὰ [illegible] ὑπὸ [illegible] Ζηνοδότου [illegible] υἷος ἑοῖο· τοῦτο [illegible] περὶ [illegible] πρὸς [illegible]. καὶ δεῖ γράφειν ἑῆος, ἀντὶ τοῦ ἀγαθοῦ: —

πεφήσεται: πέφαμαι πέφασαι· τοῦτο ποιεῖ μέλλοντα πεφάσομαι· ὁ δὲ [illegible] διαμένει: —

ἀργαλέον [illegible] ῥῦσθαι γενεήν τε: ἀδύνατον· ἡ δὲ [illegible] ἀδύνατον φησὶ θεῷ τὴν ἐξ αὐτοῦ γενεὰν ἀνθρώπων [illegible] καὶ γενεὰν [illegible] τόκον· τὸ κοινὸν [illegible] ῥύσασθαι: —

ἵδρυσε θρόνῳ ἔνι θοῦρον: [illegible] ἐδραίως [illegible] ἵδρυσε [illegible] τὸ δὲ ἵδρυσε [illegible] τὸ [illegible]: —

δώματος ἐκτός: ὁρῶσα [illegible] ἄρεα· ἵνα μὴ ἐπ' αὐτοῦ περιπέσωσιν αὐτοῖς [illegible] ἵνα μὴ [illegible] δῆλον [illegible] αὐτοῖς [illegible] ἐπὶ πάντων τὸ ἀσφαλέστατον [illegible]: —
Ζεὺς σφώ: τὸ σφῶϊ ἀποκοπή. ὀρθῶς μὲν [illegible] ὥστε [illegible] δεῖ [illegible] ἢ δυϊκοῦ ἀποκεκομμένην: — αὐτὰρ ἐπὴν ἔλθητε: [illegible] ταῦτα ποιήσαντες [illegible] παρὰ τοῦ Διός [illegible]
[illegible]
[illegible] ὅτι [illegible] οἱ λόγοι [illegible] τὴν αἰτίαν [illegible] καίτοι [illegible]
[illegible] ὁ δὲ κατεπηχὼς [illegible]
[illegible] τὴν αἰτίαν: —

θυόεν νέφος· ἐπεὶ τοῦτο ἦν τὸ νέφος περὶ οὗ [illegible] τοιόνδε τὸ ἄρωμα νέφος· θυόεν, ἤγουν εὐῶδες· θύουσι ἀναλόγως ὁ Ζεὺς δέ· φασὶ δ' οἱ φυσικοὶ τὰ [illegible] ὑπερέχοντα τῆς γῆς ἐφ' ἃ μὴ [illegible] ἀέριον νέφος [illegible] Διί. ⁓ οὐδ' ἔφριξ' ἰδοῦσα· [illegible] οὐδὲ ἐχολώθη αὐτοῖς ἰδὼν αὐτὰς ἀορίστως ἐλθεῖν, διὰ τὸ [illegible] παρουσίαν. ⁓ Ἶριν δὲ προτέρην· πρέπον [illegible] ἵνα [illegible] πρὸς [illegible] τῆς μάχ[ης] [illegible] ὁρμᾶσθαι [illegible] διὰ τοῦ [illegible] ἐὰν ἐναλλάξῃ τὴν τάξιν, οὐχ ὁμοίως φανεῖται ⁓

πάντα τάδ' ἀγγεῖλαι· πάντα ταῦτα μόνον [illegible] ἀγγεῖλαι· οὐ μὴν [illegible] ἵνα μὴ [illegible] ὡς μηδὲ [illegible] ἀπειλητικὰ [illegible] ἀγγέλλειν, ἀντὶ τοῦ ἀγγέλλειν· τοῦτο προσέθηκεν ἐπεὶ πρὸς ἴσον ἡ ἀπόφασις· καὶ [illegible] λόγοις προσφωνεῖν [illegible] διδάσκει [illegible] ⁓

ἐς ἅλα δῖαν· διὰ τὴν μεγάλην. οἱ δὲ ἱερὰν παρὰ τὸ διαίνειν· οἱ δὲ φοβερὰν διὰ τὸ δέος ὡς διαχωρισμός. ⁓

εἰ δέ μοι οὐκ ἐπέεσσι· ἀμφίβολος ὁ [illegible] ἢ [illegible] σκληρότερόν ἐστι [illegible] ἢ [illegible] οὐ φροντίσοντα. τὸ δὲ ἀλογήσει· οἱ μὲν [illegible] ποιήσει· οἱ δὲ [illegible] ⁓

ἐπιόντα ταλάσσῃ· [illegible] ἀντὶ τοῦ [illegible] οὐδὲ [illegible] ἀντὶ τοῦ [illegible] ⁓

7. καὶ γενεῇ πρότερος· [illegible] τὸ μὲν δέος [illegible] ἀπὸ τοῦ [illegible] πρότερον [illegible] ἀφαιρεῖ [illegible] Ἶριδος [illegible] καὶ [illegible] ⁓

αἰθρηγενέος· [illegible] ψυχρὴ ὑπὸ [illegible] ὁ ἄνεμος [illegible] ἡ χάλαζα [illegible] ἐκ [illegible] εἴ τις [illegible] ⁓

γαιήοχε κυανοχαῖτα· [illegible] ⁓

ἔρδειν ὅττί κεν κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.

ἣ μὲν ἄρ' ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη.

ὑπέστρεψεν ἀπὸ τῆς ἴριδος καὶ [illegible]

ἕζετο δ' ἐνὶ θρόνῳ· τὼ δ' ἀΐξαντε πετέσθην.

Ἴδην δ' ἵκανον πολυπίδακα μήτερα θηρῶν.

[illegible] ἀφῆς [illegible]

εὗρον δ' εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ.

ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο.

τὸ ἔμπροσθεν τῷ ἐλθόντε

τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο

στήτην· οὐδ' ἔφριξεν ἰδὼν ἐχολώσατο θυμῷ.

ὅττι οἱ ὦκ' ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην.

Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα.

βάσκ' ἴθι Ἶρι ταχεῖα Ποσειδάωνι ἄνακτι

ἀπὸ τοῦ

πάντα τάδ' ἀγγεῖλαι μηδὲ ψευδάγγελος εἶναι.

παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο

ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ ἐς ἅλα δῖαν.

εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται ἀλλ' ἀλογήσει.

φραζέσθω δ' ἤπειτα κατὰ φρένα καὶ κατὰ θυμόν.

μή μ' οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ

ἐπεὶ εὖ ὁμολογῶ [illegible]

μεῖναι· ἐπεί εὖ φημι βίῃ πολὺ φέρτερος εἶναι

οὐκ ἐπιτρέπει [illegible]

καὶ γενεῇ πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ.

καταφρονεῖ [illegible]

ἶσον ἐμοὶ φάσθαι τόν τε στυγέουσι καὶ ἄλλοι.

ὣς ἔφατ'· οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα ἶρις.

[illegible]

βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς Ἴλιον ἱρήν.

[illegible]

ὡς δ' ὅτ' ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα.

[illegible]

ψυχρὴ ὑπὸ ῥιπῆς αἰθρηγενέος βορέαο.

ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα ἶρις.

ἀγχοῦ δ' ἱσταμένη προσέφη κλυτὸν ἐννοσίγαιον.

ἀγγελίην τινά τοι γαιήοχε κυανοχαῖτα.

κἀκεῖνος: καὶ ἐκεῖνος ἐν πρώτοις οὐκ ἐνδόσιμος πολεμίξων, ἀντὶ τοῦ ἀρίστου [illegible] θέλει γὰρ [illegible] ὡς [illegible] καὶ ἐκεῖνος ἐλθὼν πολεμήσει [illegible] ὁ δὲ καὶ προσήκει [illegible] τῆς μάχης [illegible] ἠπείλει ἀντὶ τοῦ λέγει·

σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ: τὸ σὸν ἦτορ [illegible] ἴσον [illegible] — ὑπέροπλον εἶπε: ὑπερβατὸν [illegible] οἷον μὴ [illegible] [illegible] — ὁμότιμον: ὁ μὲν τὸ τῆς [illegible] ὁ δὲ τὸ τῆς φύσεως προσλαμβάνει [illegible]

ἐκ Κρόνου: οὐ τοῦ [illegible] ἀπὸ τῆς [illegible] Κρόνου [illegible] χρυσοῖο [illegible]

οὓς τέκετο Ῥέα: οἱ μὲν [illegible] ἐπὶ τοῦ [illegible] οἱ δὲ [illegible] ὡς [illegible] ἀνδρόμεα κρέα [illegible]

ἦλθον δεῦρο φέρουσα παραὶ διὸς αἰγιόχοιο·
παύσασθαί σ' ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο·
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν·
εἰ δέ οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι ἀλλ' ἀλογήσεις·
ἠπείλει κἀκεῖνος ἐναντίβιον πολεμίξων
ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἄνωγε
χεῖρας· ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι
καὶ γενεῇ πρότερος· σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶσόν οἱ φάσθαι· τόν τε στυγέουσι καὶ ἄλλοι·
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς ἐννοσίγαιος·
ὢ πόποι ἦ ῥ' ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπεν·
εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει·
τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ οὓς τέκε ῥέα·
ζεὺς καὶ ἐγώ· τρίτατος δ' ἀΐδης ἐνέροισιν ἀνάσσων·
τριχθὰ δὲ πάντα δέδασται· ἕκαστος δ' ἔμμορε τιμῆς·
ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεί·
παλλομένων· ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα·
ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι·
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς ὄλυμπος·
τῷ ῥα καὶ οὔ τι διὸς βέομαι φρεσίν· ἀλλὰ ἕκηλος
καὶ κρατερός περ ἐὼν μενέτω τριτάτῃ ἐνὶ μοίρῃ·
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι βέλτερον εἴη
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν οὓς τέκεν αὐτός·
οἵ ἑθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ·
τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα ἶρις·
οὕτω γὰρ δή τοι γαιήοχε κυανοχαῖτα

φυλάξασθαι [illegible] ἀποστῆναι
ταῖς χερσὶ [illegible]
τοῖς ὑπὸ γῆν [illegible]
[illegible] τῆς
τὸ [illegible] ἀέρα
κέλευσιν [illegible] ἐπιτάσσειν [illegible] ἀλλὰ μόνον λέγοντι

κρέα [illegible]

τριχθὰ δὲ πάντα δέδασται: δοκεῖ ἐναντίον εἶναι πρὸς τὸ γαῖα δὲ ἔτι ξυνὴ πάντων· εἰ γὰρ ἐπεὶ πάντα δέδασται, πῶς τὸ [illegible] λέγει· τὸ γὰρ πάντα ἀντὶ τοῦ [illegible] ὡς ἐπὶ τοῦ δέκα πάντα τάλαντα· ἐὰν δὲ [illegible] [illegible] δέδασται πάντα [illegible] [illegible] ἐπὶ τοῦ [illegible] πάντα δέδασται [illegible] ἐπὶ [illegible] [illegible]

ἤτοι ἐγὼν: [illegible] πρότερον [illegible] δεδάσθαι [illegible] ποιήσας [illegible] τῆς τρεῖς κλῆρον [illegible] ὁ δὲ κλῆρος [illegible] τοῦ [illegible] οὐ γὰρ [illegible] ἀδελφοῖς [illegible] θαλάσσῃ πάντας [illegible]

πολιὴν ἅλα: ὅτι τὴν [illegible] ῥίζουσαν [illegible] διὰ τὴν τοῦ σίτου κρᾶσιν [illegible] σημεῖον χρόνου πολλοῦ [illegible]

ζεὺς δ' ἔλαχ' οὐρανόν: πάντα [illegible] ἄρα [illegible] διὰ [illegible] νεφέλ[illegible] [illegible] ἀέρα ὁ [illegible] αἰθέρ [illegible] τὸν [illegible] ὃν [illegible] ὀνομάζει [illegible] ἄχρι τῆς ζώνης τῆς σελήνης [illegible] τῶν πλανήτων [illegible] οὐρανὸν ὀνομάζει [illegible] κινεῖ νέφη [illegible] κοινὴν [illegible] τὴν γῆν· [illegible] ἀπὸ [illegible] τοῦ [illegible] ἐπὶ [illegible] φέρονται [illegible] καὶ χαλάζης καὶ κεραυνοὶ [illegible] τὴν γῆν [illegible] οὐδὲν [illegible] ζεὺς [illegible] οἱ δὲ [illegible] τὰ πάντα [illegible] οἱ δὲ [illegible] τοῦ κόσμου [illegible] τοῦ γὰρ [illegible] ποσειδῶνος [illegible] τὴν θάλασσαν [illegible] [illegible] ἐπὶ [illegible] διὰ θαλάσσης [illegible] ποταμοὶ καὶ [illegible] θαλάσσης [illegible] [illegible] ποσειδῶνα [illegible] ἀνακρ[illegible] [illegible] ποσειδῶνι [illegible] [illegible] [illegible] τοῖς καρποῖς [illegible] [illegible] ὅτι [illegible] ποιεῖ [illegible] οἱ δὲ [illegible] [illegible] ἀφανεῖς [illegible]

χθονὶ πάντ[illegible]: οἱ μὲν [illegible] ὅλον [illegible] πόντος [illegible] τὰ [illegible] οἱ δὲ [illegible] ποσειδῶνα [illegible] ἐπὶ [illegible] ὁ ὄλυμπος [illegible] ὁ ὄλυμπος [illegible] ὄρος [illegible] ποίηκε καὶ [illegible] ὄρος [illegible] ὄρος τῆς [illegible] — βέομαι: ἐπιτρέπομαι [illegible] [illegible] τῆς [illegible] ὡς τὸ [illegible] τοῦ καὶ [illegible] χωρίς — χερσὶ δὲ μή τί με πάγχυ κακόν: [illegible] ὡς κακὸν ταῖς χερσὶ [illegible] οἱ δὲ [illegible] χερσὶν [illegible] πάγχυ [illegible] κατα[illegible] ὅτι ζεὺς [illegible] [illegible]

οὕτω γὰρ δή τοι γαιήοχε: ἐπιδείκνυσι τὸ πρόσωπον [illegible] τῆς ἀποκρίσεως [illegible] [illegible] τῆς ἴριδος [illegible] οὐ γὰρ ἀποτρέπουσα αὐτὸν [illegible] οὐ [illegible] [illegible] ἀλλὰ [illegible] ὁ [illegible] [illegible] [illegible] [illegible] ἐρώτησις [illegible] πρὸ [illegible] στρεπταί: ... τὰ ἀγαθὰ φρένες ... [illegible] ... ἐσθλοῖς δὲ ... [illegible] —

οἶσθ' ὡς πρεσβυτέροισι: τοῦτο ... [illegible] ... ἕπονται, ἀντὶ τοῦ ἀκολουθοῦσι ... [illegible] ... ἀλλὰ πρεσβύτερος· ... [illegible] ... πρεσβυτέροισιν Ἐρινύες· τοῦτο τὸ ἔπος ἢ τὸ στρεπταὶ μέν τε φρένες ἐσθλῶν ἢ τὸ οἶσθ' ὡς πρεσβυτέροισιν Ἐρινύες ... [illegible] ... ἐκινήσατο: —

ἐσθλὸν καὶ τὸ τέτυκται: καὶ ... [illegible] ... κρυπτὸς ... λόγος ... [illegible] —

ὁμῇ πεπρωμένον: καταχρηστικῶς ... ἀπὸ ... [illegible] ... ἐχόμενον ... τῶν χολωτοῖσι· ἀντὶ τοῦ πικροῖς ... [illegible] ... τὸ ὅμοιον: —

ἄλλο δέ τοι ἐρέω: ... [illegible] ... ἀλλὰ καὶ ... [illegible] ... μενέκεν: —

Ὣς εἰπὼν λίπε λαὸν ... πόντ(ον): ἡνίκα ... [illegible] —

πόθεσαν δ' ἥρωες: οἷον ἐπεθύμησαν ... [illegible] ... ἀκόσμως καθόδου ... [illegible] —

ἔρχεο νῦν ... Ἕκτορα: ἀντὶ τοῦ πρὸς ... [illegible] ... τὸ πρεσβύτερον: —

οἵ περ ἐνέρτεροι: κατώτεροι πρὸς ... [illegible] ... κατὰ σύγκρισιν: —

ἠμὲν ἐμοὶ πολὺ κέρδ(ιον): ... [illegible] ... ἀνιδρωτὶ ... [illegible] —

ἠδέ οἱ αὐτῷ: καθόλου ... [illegible] ... ὑπολαμβάνειν: —

τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε.
ἦ τι μεταστρέψεις τε; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
οἶσθ' ὡς πρεσβυτέροισιν Ἐρινύες αἰὲν ἕπονται.
τὴν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Ἶρι θεὰ μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁμοίᾳ μοίρᾳ ... [illegible]
ὁππότ' ἂν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ
νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.
διὰ τοῦτο μὲν ... [illegible] ... καταστήσω ... [illegible]
ἀλλ' ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῷ·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
τῆς τε Ἥρας ... Ἡφαίστου καὶ Ἑρμοῦ
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος,
ἀπὸ τοῦ ... [illegible]
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
ἔχθρα
ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται:
Ὣς εἰπὼν λίπε λαὸν Ἀχαιϊκὸν ἐννοσίγαιος,
δῦνε δὲ πόντον ἰών, πόθεσαν δ' ἥρωες Ἀχαιοί.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
ἔρχεο νῦν φίλε Φοῖβε μεθ' Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ τε μάχης ἐπύθοντο καὶ ἄλλοι,
... κατώτατοι ... ἀντὶ τοῦ περί
οἵ περ ἐνέρτεροί εἰσι θεοὶ Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ οἱ αὐτῷ
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξε
χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέσθη.

[illegible]

[illegible] αἰγίδα [illegible] οὐδὲ [illegible]
[illegible]
[illegible]
[illegible] τῇ μάλ' ἐπισσείων φοβέειν· [illegible]
[illegible] φράσομαι: [illegible]
[illegible] πόνοιο [illegible]

ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσανόεσσαν·
τῇ μάλ' ἐπισσείων φοβέειν ἥρωας ἀχαιούς·
σοὶ δ' αὐτῷ μελέτω ἑκατηβόλε φαίδιμος ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα· ὄφρ' ἂν ἀχαιοὶ
φεύγοντες νῆάς τε καὶ ἑλλήσποντον ἵκωνται·
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε·
ὥς κε καὶ αὖτις ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο·
ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν ἀπόλλων·
βῆ δὲ κατ' ἰδαίων ὀρέων ἴρηκι ἐοικὼς
ὠκέϊ φασσοφόνῳ· ὅς τ' ὤκιστος πετεηνῶν·
εὗρ' υἱὸν πριάμοιο δαΐφρονος ἕκτορα δῖον
ἥμενον· οὐδ' ἔτι κεῖτο· νέον δ' ἐσαγείρετο θυμόν·
ἀμφὶ ἓ γινώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ ἱδρὼς
παύετ'· ἐπεί μιν ἔγειρε διὸς νόος αἰγιόχοιο·
ἄγχου δ' ἱστάμενος προσέφη ἑκάεργος ἀπόλλων·
ἕκτορ υἱὲ πριάμοιο· τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
ἧσ' ὀλιγηπελέων· ἦ πού τί σε κῆδος ἱκάνει·
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος ἕκτωρ·
τίς δὲ σύ ἐσσι φέριστε θεῶν· ὅς μ' εἴρεαι ἄντην·
οὐκ ἀΐεις ὅ με νηυσὶν ἔπι πρυμνῇσιν ἀχαιῶν
οὓς ἑτάρους ὀλέκοντα βοὴν ἀγαθὸς βάλεν αἴας
χερμαδίῳ πρὸς στῆθος· ἔπαυσε δὲ θούριδος ἀλκῆς·
καὶ δὴ ἔγωγ' ἐφάμην νέκυας καὶ δῶμ' ἀΐδαο
ἤματι τῷδ' ἵξεσθαι· ἐπεὶ φίλον ἄϊον ἦτορ·
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος ἀπόλλων·
θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα κρονίων
ἐξ ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν·

[illegible]

ἀγχόθεν [illegible] πόνοιο: —

ἴρηκι ἐοικώς: [illegible] φασσοφόνῳ [illegible] —

ὅς τ' ὤκιστος: [illegible] κίρκος: —

ἀμφὶ ἓ γινώσκων: [illegible] ἀμφιγινώσκων [illegible] —

τίη δὲ σύ: [illegible] τὸ δὲ νόσφιν ἀντὶ τοῦ ἀπὸ [illegible] —

ἦ που: διαπορητικὸς [illegible] ἀποφατικός: —

ὀλιγοδρανέων: τὸ ὀλιγηπελέων [illegible] ὀλίγον τοῦ δρᾶν ἔχων [illegible] —

βοὴν ἀγαθὸς αἴας: [illegible] —

ἐπεὶ φίλον ἄϊον ἦτορ: ὅτι τὸ ἦτορ [illegible] —

κρονίων προέηκε: [illegible] —

[illegible]

χρυσάορε· τὸ χρυσοῦν ἄορ [illegible] ἢ τὴν κιθάραν ἔχοντα· ὁ πίνδαρος χρυσάορα ὀρφέα φησί· τινὲς χρυσοῦν ξίφος ἔχοντα:—

ἀλλ᾽ ἄγε νῦν ἱππεῦσι· προοικονομεῖ ὡς [illegible] ὥστε ἀπ᾽ ἴσου τοῖς γενέσθαι τὴν μάχην· οἱ μὲν ἀφ᾽ ἵππων οἱ δὲ ἀπὸ νηῶν [illegible] [illegible] ἐπὶ τὴν τάφρον [illegible] νῦν δὲ [illegible] μείζον [illegible] [illegible] [illegible]:— λειανέω· τὴν τάφρον καταμαλάξω· ἢ τοὺς ἀχαιοὺς [illegible] ἀντὶ τοῦ γάρ:— ἔμπνευσε μένος μέγα· [illegible] [illegible] ἐκ τούτου [illegible] ὁ ἀπόλλων [illegible] τὸν ἕκτορα [illegible] ἡ προσθήκη τοῦ μένους πρὸς [illegible] τοῦ [illegible] κεκακωμένου:—

ὡς δ᾽ ὅτε· ὡς δὲ ὅτε [illegible] [illegible] διὰ τὸ ὡς ἕκτορ [illegible] [illegible] ἕκτορ [illegible] ἕκτορ [illegible] [illegible]:—

ἀκοστήσας· [illegible] ἀκοστῆσαι [illegible] [illegible] [illegible]:—

ποταμοῖο· [illegible] ἀντὶ [illegible] ποταμοῖο:—

ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν· ὅτι [illegible] ὅτι ἤνεγκεν αὐδὴν θεοῦ:—

κεραόν· [illegible] κεραὸν [illegible] [illegible] παρὰ πινδάρῳ:—

ἀγροιῶται· [illegible] οὕτως δὲ τοὺς [illegible] ἀττικοὶ [illegible]:—

ἠλίβατος· [illegible] ἡ ἠλίβατος πέτρη:—

δάσκιος· [illegible] δάσκιος [illegible] [illegible]:—

τὸν μὲν εἰρύσατο· [illegible] ἠλίβατος πέτρη εἰρύσατο [illegible]:—

οὐδ᾽ ἄρα τέ σφι· [illegible] αἴσιμον [illegible] αἴσιμον ἀντὶ τοῦ [illegible]:—

τῶν δέ θ᾽ ὑπὸ ἰαχῆς· [illegible] [illegible] ἐφάνη [illegible] εἰς ὁδὸν πάντας [illegible]:—

ὁ ἀπὸ τοῖς ὀνόμασι ἐπ᾽ [illegible] ῥύομαι

φοῖβον ἀπόλλωνα χρυσάορον ὅς σε πάρος περ

ῥύομ᾽ ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον·

ἀλλ᾽ ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι

νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·

αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον

πᾶσαν λειανέω· τρέψω δ᾽ ἥρωας ἀχαιούς·

ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·

ὡς δ᾽ ὅτε τίς στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ

δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων

εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο

κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει· ἀμφὶ δὲ χαῖται

ὤμοις ἀΐσσονται· ὁ δ᾽ ἀγλαΐηφι πεποιθὼς

ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·

ὣς ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ᾽ ἐνώμα

ὀτρύνων ἱππῆας ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν·

οἱ δ᾽ ὥς τ᾽ ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα

ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·

τὸν μέν τ᾽ ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη

εἰρύσατ᾽ οὐδ᾽ ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·

τῶν δέ θ᾽ ὑπὸ ἰαχῆς ἐφάνη λὶς ἠϋγένειος

εἰς ὁδόν· αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·

ὣς δαναοὶ εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο

νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·

αὐτὰρ ἐπεὶ ἴδον ἕκτορ᾽ ἐποιχόμενον στίχας ἀνδρῶν

τάρβησαν· πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός·

τοῖσι δ᾽ ἔπειτ᾽ ἀγόρευε θόας ἀνδραίμονος υἱός

αἰτωλῶν ὄχ᾽ ἄριστος· ἐπιστάμενος μὲν ἄκοντι

εἵως μέν· [illegible] [illegible] μέχρι [illegible] ὁμιλαδὸν ἕποντο· ἀντὶ τοῦ ὁμιλαδὸν [illegible] ἢ ἀθροιστικῶς:—

παραὶ ποσὶ κάππεσε θυμός· ἡ τῶν [illegible] [illegible] τοὺς πόδας [illegible] [illegible] καὶ κατέπεσεν παρ᾽ αὐτοῖς:—

τοῖσι δ᾽ ἀγόρευε θόας· [illegible] [illegible] [illegible] καὶ θεοῖς [illegible] οὗτος δὲ [illegible] [illegible] [illegible] [illegible] δεόντως [illegible]:—

ἐπιστάμενος μὲν ἄκοντι· [illegible] ἀντὶ τοῦ ἐπιστήμων ἄκοντος:—

ὁππότε κοῦροι: τὸ ἑξῆς κ(αὶ) οἱ [illegible] ὡς [illegible] ἀπὸ [illegible] τῶν παί(δων) ἄμεινον: — ὢ πόποι: τοῦτο ἂν [illegible] ἐπίτηδες [illegible] παράδοξον: — ἦ θήν: ὅτι τὸ ἦ θήν, δηλοῖ τὸ οὕτως [illegible] ἦ θήν σ᾽ [illegible]: — ὧδε μενοινῶν: οὕτω διαμάχεσθαι [illegible] προθυμούμενος: —

πληθὺν μὲν ποτὶ νῆας: ἵνα μὴ ἄρα [illegible] ἕκτορος ἐπὶ πᾶσαν [illegible] ὁ ὄχλος, ἀχρεῖος [illegible] τροπῆς ποιητική: — εἴ κεν δὴ πρῶτον ἐρύξομεν: [illegible] ἐὰν πρώτοις αὐτὸν [illegible] ὑπαντήσαντες· οἷον [illegible] ἀλλ᾽ οὐδὲ [illegible] ἀντεχόμενοι μένοντες: — δείσεσθαι: ἀντὶ τοῦ δείσειν [illegible]: —

κλύον ἠδ᾽ ἐπίθοντο: ἔκλυον αὐτοῦ καὶ τοῖς λεχθεῖσιν ἐπείσθησαν: — ἀμφ᾽ αἴαντα: οὐ τοὺς περὶ [illegible] οἱ δέ, ἀμφ᾽ αἴαντα: —

ἐσθλὸς δ᾽ ἐν ~~σ~~ταδίῃ· ἀγορῇ δέ ἑ παῦροι ἀχαιῶν
νίκων ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
ὢ πόποι ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι·
οἷον δ᾽ αὖτ᾽ ἐξαῦτις ἀνέστη κῆρας ἀλύξας
ἕκτωρ· ἦ θὴν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου·
χερσὶν ὑπ᾽ αἴαντος θανέειν τελαμωνιάδαο·
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν·
ἕκτορ᾽ ὃ δὴ πολλῶν δαναῶν ὑπὸ γούνατ᾽ ἔλυσεν·
ὡς καὶ νῦν ἔσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν·
ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
αὐτοὶ δ᾽ ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ᾽ εἶναι,
στήομεν εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες
δούρατ᾽ ἀνασχόμενοι· τὸν δ᾽ οἴω καὶ μεμαῶτα
θυμῷ δείσεσθαι δαναῶν καταδῦναι ὅμιλον·
ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο·
οἳ μὲν ἄρ᾽ ἀμφ᾽ αἴαντα καὶ ἰδομενῆα ἄνακτα·
τεῦκρον μηριόνην τε μέγητά τ᾽ ἀτάλαντον ἄρηϊ
ὑσμίνην ἤρτυνον ἀριστῆας καλέσαντες
ἕκτορι καὶ τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
ἡ πληθὺς ἐπὶ νῆας ἀχαιῶν ἀπονέοντο·
τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ᾽ ἄρ᾽ ἕκτωρ
μακρὰ βιβάς· πρόσθεν δὲ κί᾽ αὐτοῦ φοῖβος ἀπόλλων
εἱμένος ὤμοιιν νεφέλην· ἔχε δ᾽ αἰγίδα θοῦριν
δεινὴν ἀμφιδάσειαν ἀριπρεπέ᾽· ἣν ἄρα χαλκεὺς

τῇ μάχῃ
ὁ δὲ ἐπέπειθ᾽
τεθνηκέναι ἢ θανεῖσθαι
τὸ πολλῶν δαναῶν γούνατα ἔλυσε
προενέπεσον
ἦρχε τῆς ὁρμῆς

τεῦκρον: [illegible] ἐπανελθόντος [illegible]: —

μέγητα: ἀρίσταρχος μὲν [illegible] μέγητα κ(αὶ) οἱ περὶ [illegible] ὡς [illegible] τὸ μέγης ὡς θάλης [illegible] ἀπὸ μὲν τοῦ [illegible] μέγητα τὸν ὡς μίκης μίκητ(ος) [illegible]: —

ἤρτυνον: παρεσκεύαζον ὥστε μάχεσθαι· οἱ [illegible] εἰς μάχην [illegible]: —

ἡ πληθὺς ἀπονέοντο: πρὸς τὸ σημαινόμενον ἀπέδωκε· ἡ πληθὺς γὰρ πολλοί: —

μακρὰ βιβάς: [illegible] μεγάλα [illegible] μέγα: —

ἀμφιδάσειαν: οἱ μὲν ἀμφιδάσειαν· οἱ δὲ κύκλῳ δασεῖαν διὰ τοὺς θυσάνους [illegible] περασμένην: —

ὥστε δι' αὐτῆς πάντα [illegible] ἢ [illegible] καὶ τῆς [illegible] τῶν [illegible] ἐκ τοῦ [illegible] ἐκ τῶν δοράτων [illegible] ἐπισκοπ[illegible] τῶν δὲ μάτ-
φερομένων. πολλὰ δὲ καὶ μεσσηγύ: μεσηγύ. ἵσταντο μεσσηγὺ ἐγίνοντο μέχρι τοῦ μέσου [illegible] ἐν τῇ γῇ ἐδέχοντο. ἀλλ' ὅπερ [illegible]
[illegible] ἐν τῇ διαμέσου [illegible] ἐπήγνυντο. χρόα λευκόν: ἀντὶ τοῦ λευκοῦ χρωτός. ὡς ἐπίπαν δὲ λευκὸ χρὸς [illegible]
λιλαιόμενα: λελιημένα· λιλαίω ὡς κεραίω [illegible] ζωρότερον κέραιε. κατενῶπα: κατὰ γὰρ πρόσωπον [illegible] τὸ ἐνῶπα· ἢ ἀπὸ τοῦ
ἐνωπή· ἐνωπά· κατὰ μεταπλασμὸν ὡς ἰωκὴν ἰωκα· καὶ μέντοι κατενῶπα προπαροξυτόνως χρὴ αὐτὸ εἶναι ἀπὸ τοῦ ἐνωπή· ἐνῶπα ὃ σημαίνει
τὰ ἐναντία· ἢ κατὰ συγκοπὴν ἐνώπια [illegible] κατενῶπα προπαροξυτόνως ὡς τὸ ἐναντία· ἀντὶ τοῦ ἐξ ἐναντίας

οἱ δὲ ἐκ φανεροῦ
προσώπου γὰρ αὐτὸν
[illegible]
[illegible]

ἥφαιστος διῒ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν·
τῇ ἄρ' ὅ γ' ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν·
ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες· ὦρτο δ' ἀϋτὴ
ὀξεῖ' ἀμφοτέρωθεν· ἀπὸ νευρῆφιν ὀϊστοὶ
θρῷσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν·
ἄλλα μὲν ἐν χροῒ πήγνυντ' ἀρηϊθόων αἰζηῶν
πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν·
ἐν γαίῃ ἵσταντο λιλαιόμενα χροὸς ἆσαι·
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα φοῖβος ἀπόλλων,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο· πῖπτε δὲ λαός·
αὐτὰρ ἐπεὶ κατενῶπα ἰδὼν δαναῶν ταχυπώλων
σεῖσ'· ἐπὶ δ' αὐτὸς ἄϋσε μάλα μέγα· τοῖσι δὲ θυμὸν
ἐν στήθεσσιν ἔθελξε· λάθοντο δὲ θούριδος ἀλκῆς·
οἱ δ' ὥς τ' ἠὲ βοῶν ἀγέλην ἢ πῶϋ μέγ' οἰῶν
θῆρε δύο κλονέωσι μελαίνης νυκτὸς ἀμολγῷ
ἐλθόντ' ἐξαπίνης σημάντορος οὐ παρεόντος,
ὡς ἐφόβηθεν ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ ἀπόλλων
ἧκε φόβον· τρωσὶ δὲ καὶ ἕκτορι κῦδος ὄπαζεν·
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης·
ἕκτωρ μὲν στιχίον τε καὶ ἀρκεσίλαον ἔπεφνε·
τὸν μὲν βοιωτῶν ἡγήτορα χαλκοχιτώνων
τὸν δὲ μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον·
αἰνείας δὲ μέδοντα καὶ ἴασον ἐξενάριξεν·
ἤτοι ὁ μὲν νόθος υἱὸς ὀϊλῆος θείοιο
ἔσκε μέδων αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
ἐν φυλάκῃ γαίης ἀπὸ πατρίδος· ἄνδρα κατακτὰς
γνωτὸν μητρυιῆς ἐριώπιδος ἣν ἔχ' ὀϊλεύς·

θῆρε δύο: λέοντες κατὰ κεφαλήν·
θῆρε δύο· δύο μὲν λέοντας [illegible]
ἐπεὶ οὗτοι ὅμοιοι τοῖς [illegible] δύο
[illegible] ἕκτορα καὶ ἀπόλλωνα· νυκτὸς δὲ
[illegible] ἐπιτίθενται· ὁ γὰρ [illegible] ἀθρόοι
[illegible] εἰς ἐπίτασιν δὲ τὴν ἀμολγὸν
τῆς νυκτὸς τὸ μέσον [illegible]
[illegible] ἐξαπίνης [illegible]
[illegible] ὁ ποιμὴν αὐτοῖς [illegible]
[illegible] ὡς οὐδὲ ὁ [illegible] τοῖς ἐν
[illegible]
[illegible]
[illegible] οὐκ ἐκ τοῦ [illegible]
[illegible] καὶ [illegible]
[illegible]

ἀμολγῷ: ἐν τῇ ἐπιτάσει τῆς νυκτός·
γὰρ [illegible] ἀμέλγεσθαι [illegible]
[illegible] ἀμέλγειν·

κλονέωσι: [illegible] ταρασσουμένων ὑπὸ
[illegible] κατεχόμενοι· οἱ δὲ ἀκμαὶ
[illegible] ὅτι [illegible]
[illegible] ὅτι πρὸς τὸ πρῶτον πρὸς τὸ
δεύτερον ἀπαντᾷ ὁ ποιητής·

ἀνάλκιδες: [illegible]
[illegible]
[illegible]

ἀπόλλων ἧκε φόβον: [illegible]
ὅτι τῇ ἑλληνικῇ φυγῇ [illegible]
ἀντεπορεύετο·

κεδασθείσης ὑσμίνης: τῆς τάξεως
διασκεδασθείσης· μέγα τὸ [illegible]
[illegible] τῶν ἡγεμόνων [illegible]
[illegible]
στιχίος· δῖος [illegible] ἀρχοὶ
[illegible] ὀνόματα δέ· [illegible]
τὰς [illegible] κεδασθείσης ὑσμίνης·
τῆς τάξεως διασκεδασθείσης· [illegible]
[illegible] φέρονται [illegible]
[illegible]
[illegible] τέτρωται·

τὸν μὲν βοιωτῶν: ὅτι πρὸς τὸ δεύτερον
ἀπήντησεν· ὁ γὰρ ἀρκεσίλαος [illegible]
[illegible] πρὸς τὸ πρῶτον ὑπαντήσας·

ἤτοι ὁ μὲν νόθος: τὸ κατὰ [illegible]
[illegible] διαμονίως δὲ
[illegible] πρὸς τὸ
δεύτερον ὑπαντήσας· νῦν πρὸς τὸ πρῶτον·

νόθος: ἐξ ἀλκιμάχης τῆς φυλάκης ἦν ὁ αἴας [illegible] ἐν τῷ καταλόγῳ· [illegible] συμφωνεῖ τῷ ποιητῇ. [illegible]
γνωτόν: γνωτὸς ὁ ἀδελφὸς [illegible]
κοινοῖς [illegible] μητρυιῆς ἐριώπιδος: [illegible] τῷ ποιητῇ [illegible] ἑλλάνικος [illegible]
[illegible] ἀλκιμάχην· ὁ δὲ τῶν ναυπακτικῶν ποιητὴς [illegible]
[illegible] ὀϊλεύς: [illegible]
γελοῖον [illegible] οὐ γὰρ [illegible] ἐπὶ [illegible] ἀλλὰ μεγαλήτορες [illegible] καὶ
νῦν δὲ [illegible]

Μηκιστῆ· περισπᾶται· ἔστι κατὰ ἀποκοπὴν τοῦ α, ὡς τὸ [illegible]· ἔστι δωρικὴ ἡ κλίσις· μηκιστεὺς μηκιστῆ· [illegible] κακεῖνα
μηκιστέως ἀμφοῖν εἶναι ὡς δ' ἀλλήλων ὤτρυνεν· ἐν [illegible] ἱκέτευον·— πρώτῃ ἐν ὑσμίνῃ· ἐν τοῖς προτέροις [illegible] οὐ γὰρ [illegible] πρώτης μάχης
νείατον ὦμον· τὸν πρὸς τῷ αὐχένι· οἱ δέ, [illegible] πρώτῃ ἐν ὑσμίνῃ· οὗτος δὲ [illegible] μόνον [illegible]
[illegible] ἐν τῇ [illegible] Ἕκτορος οὗτος [illegible] τούτοις οἱ [illegible]
φεύγοντ' ἐν προμάχοισι· [illegible] ὁ κεῖ ἐν τούτῳ [illegible] ἐν τοῖς προμάχοις φεύγοντι·
τάφρῳ ἐνιπλήξαντες· [illegible] ἄτακτον [illegible] ἐνιπλήξασιν·—

[illegible]
ἴασος αὖτ' ἀρχὸς μὲν ἀθηναίων ἐτέτυκτο·
υἱὸς δὲ σφήλοιο καλέετο βουκολίδαο· [illegible]
μηκιστῆ δ' εἷλε πουλυδάμας· ἐχίον δὲ πολίτης
πρώτῃ ἐν ὑσμίνῃ· κλονίον δ' εἷλε δῖος ἀγήνωρ·
δηΐοχον δὲ πάρις βάλε νείατον ὦμον ὄπισθεν
φεύγοντ' ἐν προμάχοισι· διαπρὸ δὲ χαλκὸν ἔλασσεν·
φονεύοντες ἐξέδυον
ὄφρ' οἳ τοὺς ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' ἀχαιοὶ
τάφρῳ καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῇ
ἔνθα καὶ ἔνθα φέβοντο· δύοντο δὲ τεῖχος ἀνάγκῃ·
ἕκτωρ δὲ τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω
ὅπου ὁραθῇ
αὐτοῦ οἱ θάνατον μητίσομαι· οὐδέ νυ τόν γε [illegible]
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα·
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο·
ὣς εἰπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους·
κεκλόμενος τρώεσσι κατὰ στίχας· οἳ δὲ σὺν αὐτῷ
τοῖς ἵπποις δηλονότι
πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵππους
ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ φοῖβος ἀπόλλων
ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
ἐς μέσσον κατέβαλλε· γεφύρωσεν δὲ κέλευθον·
ὅσον ἐπὶ [illegible] δόρατος
μακρὴν ἠδ' εὐρεῖαν· ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ
γίνεται· ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἧσι·
[illegible] προηγεῖτο [illegible]
τῇ ῥ' οἵ γε προχέοντο φαλαγγηδόν· πρὸ δ' ἀπόλλων
αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος ἀχαιῶν
ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης·
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν

δύοντο δὲ τεῖχος ἀνάγκῃ· δαιμονίως προσέθηκεν· οὐχ ὡς δι' ἀνανδρίαν εἰ πράξαντες τοῦτο, ἀλλὰ διὰ τὴν ἀπὸ τῶν θεῶν ἀνάγκην·—

τρώεσσιν ἐκέκλετο· μνηστὴν ἐπισσεύεσθαι [illegible] καὶ τὸ πρόσταγμα θρασύ· [illegible] ἀλλ' ἄνδρας [illegible] τὸ δὲ [illegible] ἐπισσεύεσθαι ἀντὶ τοῦ ἐπὶ τὰς ναῦς ὁρμᾶν· [illegible] ἀντὶ τοῦ προσφάκτων·—

μητίσομαι· [illegible] προνοήσω [illegible] τοῦτο ποιεῖ·—

οὐδέ νυ τόν γε πυρὸς λελάχωσι· [illegible] ἐκίνησεν·—

5. ἐρύουσι· [illegible] ἀντὶ [illegible] μέλλοντος·—

7. κατωμαδόν· κατὰ τῶν ἰδίων ὤμων [illegible] τοῦτο τὸ κατωμαδίοιο [illegible]·—

ἤλασεν ἵππους· ἤλαυνεν ἐπὶ [illegible] τοῖς ἵπποις [illegible] κεκλόμενος· [illegible] ἤλαυνεν ὡς [illegible]·—

ὄχθας καπέτοιο· τὰς ἀμφιδεξιὰς τῆς τάφρου· καπέτοιο [illegible] τὴν τάφρον ὠνόμασεν·—

γεφύρωσεν· κυρίως [illegible] γεφύρωσεν [illegible] τὸ ἔργον τοῦ θεοῦ·—

ὁππότ' ἀνὴρ σθένεος πειρώμενος· [illegible] ἀκοντίζοντα [illegible] ἀλλὰ [illegible] ἀποπειρώμενος [illegible]·—

ἧσι· δασυντέον [illegible]·—

ῥεῖα μάλ' ὡς ὅτε τις· [illegible] ἀπὸ κοινοῦ [illegible]·—

ἀθύρματα· [illegible] παίγνια [illegible] νηπίων·—

ποσὶ καὶ χερσὶν ἀθύρων· ὁ νήπιος ὅταν [illegible] σώματι· χερσὶ ἐπὶ τὸ χέρσου διασχίζων [illegible] ἐπὰν καὶ αὐτὸς τὸ ἀθύρμα [illegible] τοῦ ὅλου [illegible]
[illegible] ἀθύρει τὸ παιγνίου ἀκύρ[illegible] — ἤϊε· ἄριστε [illegible] παρὰ τὴν [illegible] ὃ καρδίαν [illegible] ἀλλ' γὰρ τὸ [illegible]
[illegible] τοῦ [illegible] οἱ δὲ παρὰ τὴν [illegible] παρὰ τὸ ἰέναι [illegible] ἀμαθοῦς [illegible] ἐμφαντικὰ τῆς δυνάμεως τοῦ θεοῦ
μεγάλ' εὐχετόωντο· διαφέρει [illegible] κεφαλαίοις [illegible] τοῦ [illegible]
[illegible] ἀπονέμεσθαι· χεῖρ' ὀρέγων· οὐ χεῖρα, ἀλλὰ χεῖρε [illegible]
ἀθρόον ὄντα δὲ αὐτὸν τοῦτο, ἀλλὰ τὸν [illegible] ἀθρόον [illegible] ἐν Ἄργεϊ· Ἄργος ὅλην τὴν Ἑλλάδα· πύριος [illegible] φασὶ [illegible]

ἄθροον [illegible] τὸ μὲν ὑπὲρ [illegible] σεῖα [illegible] οὐ γὰρ ὑπὲρ ἑαυτοῦ δέδοικε· ἀλλ' ὑπὲρ ἁπάντων· διὰ τὴν κοινὴν ἀσ[illegible] προαίρεσιν

ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.
ὥς ῥα σύ ἤϊε Φοῖβε πολὺν κάματον καὶ ὀϊζὺν
σύγχεας Ἀργείων· αὐτοῖσι δὲ φύζαν ἐνώρσας·
ὣς οἱ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντ(ες)
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος.
Νέστωρ αὖτε μάλιστα Γερήνιος οὖρος Ἀχαιῶν
εὔχετο χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
Ζεῦ πάτερ εἴ ποτέ τις τοι ἐν Ἄργεΐ περ πολυπύρῳ
ἢ βοὸς ἢ οἰὸς κατὰ πίονα μηρία καίων
εὔχετο νοστῆσαι· σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
τῶν μνῆσαι καὶ ἄμυνον Ὀλύμπιε νηλεὲς ἦμαρ·
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.
ὣς ἔφατ' εὐχόμενος· μέγα δ' ἔκτυπε μητίετα Ζεύς,
ἀράων ἀΐων Νηληϊάδαο γέροντος·
Τρῶες δ' ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο·
μᾶλλον ἐπ' Ἀργείοισι θόρον· μνήσαντο δὲ χάρμης.
οἱ δ' ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
νηὸς ὑπὲρ τοίχων καταβήσεται ὁππότ' ἐπείγῃ
ἲς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον·
ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχοντο
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν· οἱ μὲν ἀφ' ἵππων,
οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες
μακροῖσι ξυστοῖσι· τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα κολλήεντα κατὰ στόμα εἱμένα χαλκῷ·
Πάτροκλος δ' εἷος μὲν Ἀχαιοί τε Τρῶές τε

ὀϊζύν· τὴν ταλαιπωρίαν [illegible] πλὴν τοῦ [illegible] ὀϊζὺς [illegible] ἡ δὲ κατὰ πρὸς τὸ καίων·
καὶ κατένευσας· ἐνένευσας εἰς τὴν [illegible] κατένευσας· ἀμετάπτωτον [illegible] τὴν ὑπόσχεσιν·
Ὀλύμπιε· τὴν [illegible] πόλου [illegible]
μέγα δ' ἔκτυπε· [illegible] ταῦτα ἐπισημαίνει [illegible] ἀνδρὸς εὐχὴν [illegible] τῆς οἰκονομίας ὁ ποιητὴς [illegible] σημεῖον [illegible] τὸ δὲ κατὰ [illegible] μὲν δὲ [illegible] ἀλλὰ [illegible] τὴν [illegible] ὑπόσχεσιν [illegible] μέγα δ' ἔκτυπε·
ἀράων ἀΐων· [illegible]
ὥς τε μέγα κῦμα· [illegible] κῦμα ὁ ποιητὴς [illegible] ἐμφαντικῶς [illegible] ταύτης τῆς [illegible] κίνδυνον [illegible] τὸ τεῖχος· τοὺς δὲ [illegible] ὑπερβαίνοντας τὸ τεῖχος· ὡς κῦμα [illegible] εὐρυπόροιο, ἀντὶ τοῦ μεγαλοπόρου [illegible] μείζονα γὰρ τὰ ἐν τοιαύτῃ θαλάσσῃ κύματα·
ἵππους δ' εἰσελάσαντες· [illegible] τῆς μάχης· [illegible] οἱ δὲ ἀπὸ τῶν ἵππων [illegible] μάχοιντο· εἰσελάσαντες τοὺς ἵππους, διὰ τῆς ὑπὸ Ἀπόλλωνος [illegible] κελεύθου·
ἐπὶ πρύμνῃσι μάχοντο· [illegible] μάχην τῶν [illegible] ἐντὸς τοῦ τείχους [illegible] ἐπὶ τῶν πρυμνῶν μάχην [illegible] διὸ Τρῶες [illegible] ἀπὸ ἵππου [illegible] ἀπὸ τῶν ἁρμάτων [illegible] μάχην [illegible] τοῖς ἵπποις [illegible] οἱ ἡνίοχοι [illegible] πόλιν [illegible] τοῖς πολεμίοις· οἱ δὲ παραιβάται [illegible] διὸ ὁ ἡνίοχος [illegible] κατὰ τ[illegible] μάλλεται·
αὐτοσχεδόν· αὐτόθεν [illegible] τὴν [illegible] ἀντίφρασιν [illegible] καλοῦσιν [illegible] ἵππους [illegible]
οἱ δὲ [illegible] τοῖς κατὰ [illegible]

ναύμαχα· [illegible] ναυμαχίαν [illegible] πολεμικοῖς [illegible] μόνον οὐκ ἂν [illegible] μόνοις [illegible] τοὺς Τρῶας [illegible] παρὰ τὴν μάχην· ὡς ἱπποκόμος παρὰ τὴν μάχην· ναυμάχος μὲν [illegible] ναύμαχον δὲ τὸ δόρυ [illegible]
κολλήεντα· [illegible] κολλητὸν [illegible] ναυμαχίαν ὅτι [illegible] τοῦτο [illegible]
στόμα· τὸ ἄκρον παρὰ τὸ τμητικὸν εἶναι· δηλοῖ δὲ ὅτι οὐκ [illegible] κατ' ἀμφότερα [illegible] προσῆσαν τοῖς κατὰ [illegible] ἐπὶ νεκρῶν [illegible]
Πάτροκλος δ' εἷος μέν· ὅταν ἐπὶ τὰ ἄκρα [illegible] τὴν ποίησιν, τότε ταῖς [illegible] χρῆται· [illegible] τὴν προσοχὴν τῶν ἀκροατῶν [illegible] ἐπὶ τὸν [illegible] παρὰ τῷ [illegible] χρόνος [illegible] καιρῷ·

καὶ τὸν ἔτερπε λόγοις: [illegible] ὁ Μένανδρος ἰατρός [illegible] οὗτος μόνος [illegible] κουφίσματα [illegible] τὴν ψυχὴν [illegible] τοῦ σώματος [illegible] κυδαίνοιτο [illegible] ×

σπεύσομαι· ταχέως [illegible] πορεύσομαι:— τίς δ' οἶδ' εἴ κεν οἱ· [illegible] τοῖς λόγοις [illegible] εἴ κεν σὺν δαίμονι [illegible]:— ἀγαθὴ δὲ παραίφασις ἑταίρου: [illegible] παραμυθία [illegible] ×

τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν
ὑπὸ τῷ γήρᾳ ἀγαπωμένου
τόφρ' ὅ γ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
ἧστό τε καὶ τὸν ἔτερπε λόγοις· ἐπὶ δ' ἕλκεϊ λυγρῷ
διὰ τῶν ἀκεσμάτων [illegible] ἐπέπασσε
φάρμακ' ἀκέσματ' ἔπασσε μελαινάων ὀδυνάων
τοὺς ἐπὶ τὰ τείχη ὁρμωμένους
αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησε
Τρῶας· ἀτὰρ Δαναῶν γένετ' ἰαχή τε φόβος τε
ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὣ πεπλήγετο μηρὼ
ἔπος ηὔδα οὐ προσηύδα
χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος δὲ προσηύδα·
[illegible]
Εὐρύπυλ' οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπης
[illegible]
ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
περὶ τῶν φαρμάκων
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω· αὐτὰρ ἔγωγε
σπεύσομαι ἐς Ἀχιλῆα ἵν' ὀτρύνω πολεμίζειν·
τίς δ' οἶδ' εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω
παρειπών· ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου·
τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Τρῶας ἐπερχομένους μένον ἔμπεδον· οὐδ' ἐδύναντο
[illegible]
παυροτέρους περ ἐόντας ἀπώσασθαι παρὰ νηῶν·
ἀντὶ τοῦ [illegible] τῆς ἡμέρας ταύτης
οὔτε ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
διασχίσαντες πλησιάσαι
ῥηξάμενοι κλισίῃσι μιγήμεναι οὐδὲ νέεσσιν·
τουτέστιν [illegible] κίνδυνα [illegible]
ἀλλ' ὥς τε στάθμη δόρυ νήϊον ἐξιθύνει
[illegible]
τέκτονος ἐν παλάμῃσι δαήμονος ὅς ῥά τε πάσης
[illegible]
εὖ εἰδῇ σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,
ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε·
[illegible]
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν·
Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο·
[illegible]
τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον· οὐδὲ δύναντο
οὔθ' ὁ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆας,

πόδες φέρον: ὅτι οἱ πόδες αὐτὸν ἔφερον· οὐκ αὐτὸς τοὺς πόδας [illegible] τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ [illegible] μέσην [illegible] τὴν μάχην:—

Τρῶας ἐπερχομένους μένον: [illegible] οἱ μὲν γὰρ [illegible] νικᾶν ἐφράζοντο· οἱ δὲ [illegible]:—

ἀλλ' ὥς τε στάθμη: πρὸς τὸ [illegible] τῆς ἰσότητος [illegible] ἡ τοῦ [illegible] ×

εὖ εἰδῇ σοφίης: ἀντὶ τοῦ [illegible] τὴν σοφίαν [illegible] σοφούς [illegible] ×

ἶσα μάχη τέτατο: [illegible] ἴσοι [illegible] ἀπὸ τῶν [illegible] ×

ἄλλοι δ' ἀμφ' ἄλλῃσι: [illegible] ×

ἐείσατο: ὥρμησεν [illegible] ἐπικουρούσης:—

[illegible]

οὔθ' ὁ τὸν αὖτ' ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας
πῦρ ἐς νῆα φέροντα, κατὰ στῆθος βάλε δουρί·
δούπησεν δὲ πεσών· δαλὸς δέ οἱ ἔκπεσε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
ἐν κονίῃσι πεσόντα νεὸς προπάροιθε μελαίνης,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε,
ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.
ὣς εἰπὼν Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.
τοῦ μὲν ἅμαρθ', ὃ δ' ἔπειτα Λυκόφρονα Μάστορος υἱὸν
Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι,
τὸν βάλεν ἐν κεφαλῇ ὑπὲρ οὔατος ὀξέϊ χαλκῷ
ἑσταότ' ἄγχ' Αἴαντος· ὃ δ' ὕπτιος ἐν κονίῃσι
νηὸς ἄπο πρυμνῆς χαμάδις πέσε, λύντο δὲ γυῖα.
Αἴας δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα
ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;
ὣς φάθ'· ὃ δὲ ξυνέηκε, θέων δέ οἱ ἄγχι παρέστη
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεσσιν ἐφίει.

τὴν ψυχ[illegible]

οἱ νεώτεροι ἴσως φασὶ δαλόν

ἀντὶ τοῦ αὐτοῦ ἀγῶνι

τὰ ἅρματα [illegible]

ἤτοι ἐξῳκηκότι

ἀντὶ τοῦ ἤκουσεν

ἀντὶ τοῦ βέλη

ἐπέλασσε δαίμων: ὁ ἀπρόσμαχος [illegible] πρὸς τὴν προσθήκην [illegible] τὴν ἐπὶ τὰς ναῦς πορείαν [illegible] ἀνέλαβε:—

Κλυτίοιο: ὁ Κλυτίος οὗτος ὁμοπάτριος ἀδελφὸς Πριάμου· Λαομέδοντος δὲ παῖδες Τιθωνὸς [illegible] Πρίαμος, Λάμπος τε Κλυτίος τε Ἱκετάων τε ὄζος Ἄρηος· διὸ ἐξάδελφοι [illegible] Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιόν· [illegible]:—

νῆα: τὴν [illegible] πρὸς [illegible] δὲ [illegible] ἀλλὰ δὲ τὸ [illegible] ἐπιδέχεται νῆας:—

Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι: ἀπὸ τοῦ [illegible] ἐπὶ τὸ μερικὸν [illegible] ὁ ποιητὴς [illegible] ὑποχωρήσῃ:—

στείνεϊ: τῷ [illegible] στενοχωρίᾳ:—

σαώσατε: [illegible] σῴσατε [illegible] ἀντὶ τοῦ [illegible] ἀπέλθωμεν:—

Κυθήριον: τινὲς δι' αὐτῶν [illegible] Κυθηρίους δημότας Ἀττικῆς [illegible] μᾶλλον [illegible]:—

Κυθηρόθεν ἔνδον: ἐκ Κυθήρων ἐπιδημοῦντα τοῖς ἡμετέροις οἴκοις:—

τοκεῦσι: [illegible] τοκεῦσιν οὐ [illegible] Αἴαντος καὶ Τεύκρου [illegible] πολλοὶ τοῦ [illegible] ἀντὶ τούτου [illegible] Αἴαντι καὶ Τεύκρῳ:—

ἰοὶ ὠκύμοροι: οἱ ταχὺν τὸν θάνατον ποιοῦντες· ὠκύμορος δή μοι τόκος [illegible] τόξον δέ, ἤτοι τὴν τοξικήν:—

ἰοδόκον: [illegible] δεχόμενον ἰούς· [illegible] ἐνίζοντα [illegible] ἄλλοι δὲ [illegible]:—

[illegible]

κλεῖτ(ον)· ὁ καὶ [illegible] ἐπὶ τοῖς [illegible] — ἕκτορι καὶ τρωσὶ χαριζόμενος· ἀθρόως καὶ τὸ [illegible] ἐπικουρούντων
[illegible] χαριζόμενος ἕκτορι ὡς πάνδαρος· [illegible] πρὸς τὴν χάριν φέρειν ἕκτορι [illegible] ἀνοίκειον τοῦτο· ὁ ἄριστος [illegible] ἐπὶ [illegible]
χαριζόμενος [illegible] πεπονημένος· πῶς γὰρ ἡνίοχος ὢν ὄπισθεν [illegible]· αὐχένι γάρ οἱ ὄπισθεν· αὐτὸν [illegible] τοῦ [illegible]
[illegible] δίφρου· ἐπρηνίσθη [illegible] οἱ πορευόμενοι [illegible] κινηθέντων τῶν ἵππων· ὡς [illegible] τοῦ δίφρου [illegible]
τοῦτον [illegible] τοῖς [illegible] τῶν πολεμίων· ὁ δὲ [illegible] ὁ ἄριστος [illegible] τοῖς [illegible] ἐκ [illegible] προστάντα· ὅτι χρῆ
[illegible] ἕκτορι [illegible] καὶ αὐτὸς ὡς δαρδάνιος· [illegible] ἀδελφοῦ πουλυδάμαντος· δαρδανίδας ἄμφω πανθοΐδας ἐπίκουρος καὶ

Καὶ ῥ' ἔβαλε κλεῖτον πεισήνορος ἀγλαὸν υἱὸν
πουλυδάμαντος ἑταῖρον ἀγαυοῦ πανθοΐδαο·
καθ' ἵππους ἔχε τὸ ζεῦγ(ος)
ἡνία χερσὶν ἔχοντα· ὁ μὲν πεπόνητο καθ' ἵππους·
ἡ κέλευ(θος)
τῇ γὰρ ἔχ' ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες
ἕκτορι καὶ τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
τῶν ἱεμένων
ἦλθε κακόν, τό οἱ οὔτις ἐρύκακεν ἱεμένων περ·
[illegible]
αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
κεῖν' ὄχεα κροτέοντες· ἄναξ δ' ἐνόησε τάχιστα
πουλυδάμας, καὶ πρῶτος ἐναντίος ἤλυθεν ἵππων·
τοὺς μὲν ὅγ' ἀστυνόῳ προτιάονος υἱέϊ δῶκε,
πολλὰ δ' ἐποτρύνων σχεδὸν ἰσχέμεν εἰσορόωντα
ἵππους· αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
τεῦκρος δ' ἄλλον ὀϊστὸν ἐφ' ἕκτορι χαλκοκορυστῇ
ἐλάμβανε
αἴνυτο, καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν ἀχαιῶν,
ἀντὶ τοῦ αὐτὸν
εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν·
ἀλλ' οὐ λῆθε διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσεν
ἀντὶ τοῦ τεῦκρον
ἕκτορ'· αὐτὰρ τεῦκρον τελαμώνιον εὖχος ἀπηύρα·
εὖ στρεφομένην ὀξ(ὺ) [illegible]
ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
ἀντὶ τοῦ ἕλκοντι
ῥῆξ' ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
ἰὸς χαλκοβαρής, τόξον δέ οἱ ἔκπεσε χειρός·
τεῦκρος δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
οὐ τῆς [illegible]
ὢ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρης· ὅ τέ μοι βιὸν ἔκβαλε χειρός,
νεωστὶ ἐστραμμένην
νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
ἵνα δέχοιτο
πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρῴσκοντας ὀϊστούς·
τὸν δ' ἠμείβετ' ἔπειτα μέγας τελαμώνιος αἴας·

καὶ ὁ μὲν [illegible] ὁμοίως [illegible] τρωσὶ
[illegible] δαρδανίας· [illegible] ἐπὶ αὐτοῖς προθυμίας. ὅπου μόνος ἐπὶ
[illegible] τοῦ δίφρου διχῇ [illegible] αὐτοῦ
[illegible] αὐτομέδων ὄπισθεν δὲ
[illegible]. ἴσως [illegible] πεπτωκότα [illegible]
[illegible] τοῦ πολέμου· ὡς καὶ αὐτοῖς [illegible]
[illegible] ὅπως [illegible]
[illegible] τὸ [illegible], αὐτὸς
[illegible] ὥστε [illegible]
[illegible] αὐχ-
[illegible] πάσαν περὶ
[illegible] τοῦ τελαμῶνος ἀντιπρόσω-
ποι [illegible] ἐμάχοντο [illegible]
[illegible] ἀλλήλων, [illegible]
τῶν ἵππων· ὡς καὶ διομήδης τὸν [illegible]
[illegible] ἄρεως [illegible]·—

ἄναξ δ' ἐνόησε· ὁ ἄναξ τῶν ἵππων ἐναντίος [illegible] δίχα ἡνιόχου ὄπισθεν·—

εἰσορόωντα· καὶ [illegible] τοῖς ἵπποις [illegible]·—

ἀμύμονι τόξῳ· κατὰ μεταφορὰν τοῦ [illegible]. καὶ [illegible] ἀμύμονα [illegible] ἀποπέμπεσθαι [illegible] ἀρίστους. [illegible] τεῦκρον. ἀμύμονα δὲ καὶ [illegible]·—

χαλκοβαρής· ἐπὶ γὰρ τὸ χαλκῶ-[illegible] καταφέρεται τῷ [illegible]·—

ἐπὶ μήδεα κείρει· τὸ ἑξῆς ἐπικείρει [illegible] οἷον ἐπικόπτει τὰς [illegible] ἡμῶν·—

ὅ τέ μοι βιὸν· ὅτε ἀντὶ τοῦ ὅς τε [illegible] ὅτε [illegible] ἀντὶ τοῦ ὅτι·—

πρώϊον· ὅτι [illegible] τῆς πρωΐας [illegible] ἔχει πλείονας χρόνους τὸ πρώϊον ἢ [illegible] γὰρ [illegible] [illegible] πρὸ ταύτης ἡμέρας [illegible] [illegible] ἕκτορι ἡ δέ οἱ νευρὴ [illegible] τὸ [illegible] τῇ δεξιᾷ καὶ [illegible] ἔβαλε τὴν νευρὰν καὶ τὸ τόξον·—

164

[illegible] ἐπίθετον τὸ ταρφέας: ⁓ ἑλὼν δόρυ: δολιχοῦ τὸ [illegible]

ταρφέας ἰούς: διὰ συνεχεῖς καὶ πυκνοὺς κατὰ τὸ πολεμεῖν· οὐ γὰρ τῶν ἰῶν ἐπίθετον [illegible] ἀπολλὺς πρὸς τοὺς κινδύνους: — 5. κρατὶ δ' ἐπ' ἰφθίμῳ: ὅτι οὐκ εἶχον κόρυθας οἱ τοξόται [illegible] κόρυθας χαλκῆ [illegible] Διόθεν: ἀπ' ἐκ Διὸς [illegible] βλαφθέντα: [illegible] τοῦ χρόνου: ⁓ 7. ἀλκή: ἡ νίκη ὅταν κατὰ προαίρεσιν [illegible] ἀπὸ θεῶν ἐπὶ δὴ [illegible] Κρονίων [illegible] ὅτεοισι: πλεονασμὸς τοῦ [illegible] ἀφορίζεται [illegible] ἀπὸ γὰρ τοῦ ὅτοισιν [illegible]: ⁓ ὑμέων: [illegible] ὅτεοισιν· ὅτεοισι· τρίτη ἀπὸ [illegible]

[illegible] διὰ τὴν μακρὰν κακῶς: ⁓

τεθνάτω· οὔ οἱ ἀεικές: [illegible] τοῖς [illegible] κατὰ [illegible] Λακεδαιμονί[illegible] [illegible] πόλεμον [illegible] δὲ [illegible] [illegible] τούτου [illegible] οὐ κεκράτηκε τῆς φράσεως [illegible] ὃς ἂν θάνῃ [illegible] ὃς ἂν ἀποθάνῃ [illegible] ἄλλα [illegible]:—

ἄλοχος σόη: [illegible] προέκρινε [illegible] ψυχὰς ὑπὲρ τῶν οἰκείων [illegible]:—

καὶ παῖδες ὀπίσσω: ἡ [illegible] καὶ [illegible] ὀνόματι τῶν παίδων [illegible] διαδοχήν· καλὴ δὲ καὶ ἡ προσθήκη τοῦ ὀπίσσω [illegible] διαδοχὴν τοῦ [illegible]:—

καὶ κλῆρος ἀκήρατος εἴ κεν Ἀχαιοί: [illegible] πάντα [illegible] θάνατον ἐπιφέρων [illegible] κλῆρος δέ [illegible] ἐπὶ κλήρου [illegible] ἐπὶ κλήρου ἐδάσαντο: ⁓

ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
κάββαλ', ἐπεὶ συνέχευε θεὸς Δαναοῖσι μεγήρας·
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμῳ
μάρναο Τρώεσσι καὶ ἄλλους ὄρνυθι λαούς.
μὴ μὰν ἀσπουδί γε δαμασσάμενοί περ ἕλοιεν
νῆας ἐϋσσέλμους· ἀλλὰ μνησώμεθα χάρμης.
ὣς φάθ'· ὁ δὲ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκεν,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον,
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν·
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκή,
ἠμὲν ὅτεοισι κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
ἠδ' ὅτινας μινύθῃ τε καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν,
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ' ἀρήγει.
ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὑμέων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

ἀκονιτί

μὴ κατὰ πρόσωπον τὴν μάχην

τῷ ἀκονητῷ [illegible]

ἀπὸ τοῦ ὅτις ἀναφορικοῦ [illegible]

ἡ διπλῆ πρὸς τὴν διαφορὰν τοῦ βλήμενος ἢ τυπ.

[illegible] σῶος [illegible] ἀσφαλής

ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
αἰδὼς ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν·
ἦ ἔλπεσθ' ἢν νῆας ἕλῃ κορυθαίολος ἕκτωρ·
ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος·
πεζῇ ὡς ἀργῶς ἀπὸ τοῦ [illegible] [illegible]
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
ἕκτορος· ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει·
χορεύειν
οὐ μὰν ἔς γε χορὸν κέλεται ἐλθέμεν ἀλλὰ μάχεσθαι·
ἡμῖν δ' οὔτις τοῦδε νόος καὶ μῆτις ἀμείνων·
πλησίον μάχης τοῦ ἢ οὐ γὰρ ἡμῖν πρὸς τὸ [illegible] ἰσχύς
ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε·
ἀντὶ τοῦ ἐν ὀλίγῳ χρόνῳ [illegible]
βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι
ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι
ἀντὶ τοῦ οὕτως οὐ τοπικόν
ὧδ' αὔτως παρὰ νηυσὶν ὑπ' ἀνδράσι χειροτέροισιν:

ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
ἔνθ' ἕκτωρ μὲν ἕλε σχεδίον περιμήδεος υἱὸν
τῶν ἀρχόντων φωκέων
ἀρχὸν φωκήων· αἴας δ' εἷλε λαοδάμαντα
πεζῶν
ἡγεμόνα πρυλέων· ἀντήνορος ἀγλαὸν υἱόν·
ἠλείων· ἀπὸ κυλλήνης ὄρους κυλλήνη
πουλυδάμας δ' ὦτον κυλλήνιον ἐξενάριξε
φυλείδεω ἕταρον μεγαθύμων ἀρχὸν ἐπειῶν·
ὥρμησε
τῷ δὲ μέγης ἐπόρουσεν ἰδών· ὁ δ' ὕπαιθα λιάσθη
πουλυδάμας· καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ ἀπόλλων
εἴα πάνθου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
αὐτὰρ ὅ γε κροίσμου στῆθος μέσον οὔτασε δουρί·
δούπησεν δὲ πεσών· ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα·
τόφρα δὲ τῷ ἐπόρουσε δόλοψ αἰχμῆς ἐῢ εἰδὼς
λαμπετίδης ὃν λάμπος ἐγείνατο φέρτατον ἀνδρῶν

τὸ ἐχε[illegible]
[illegible]
[illegible]

μένος καὶ θυμόν: μένος τὴν προθυμίαν καὶ τὴν ἀλκήν· ὁ θυμὸς προέχει τὸ μένος· θυμὸς δὲ οἷον ἡ τῆς ὁρμῆς ἀρχὴ τὸ ὁρμῆσαι.
αἴας δ' αὖθ' ἑτέρωθεν: οὐ μόνον ἕκτωρ ἀλλὰ καὶ ὁ αἴας ἀνταγωνίζονται.
αἰδὼς ἀργεῖοι: ἡ γνώμη καλῶς δὲ [illegible] ὑπόμνησιν· οὐ [illegible] ὡς νεκρὸς [illegible] παρ' ἕκτορι.
ἄρκιον: ἀσφαλὲς μὲν ἢ ἕτοιμον.
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν: σωθῆναι καὶ ἀπώσασθαι· σωθῆναι μὲν νίκης ἐπὶ τοῦ δίχα νίκης σωθῆναι· κε[illegible] θάνατον.
ἦ ἔλπεσθ': ἢ ἐλπίζετε [illegible] καὶ μόνος μετὰ τῆς κρίσεως· αὐτοῦ [illegible] συνήθαν [illegible].
ἐμβαδόν: πεζῇ· ὁ ἄνθρωπος [illegible] ἄμαπος· οἱ δὲ [illegible] πρὸς ὃν λακεδαιμόνιοι νικῶντες [illegible] τὴν πατρίδα.
ἦ οὐκ ὀτρύνοντος: διὸ [illegible] ὅτι [illegible] τοῦ τηλικούτου κινδύνου ὡς [illegible] κίνδυνον ὀνομάζει.
οὐ μὰν ἔς γε χορόν: ἐν ἐρίδα τοῦ χοροῦ διὰ τὸ ἐπὶ [illegible] τρωσὶν καὶ ἄλλοι [illegible] εἰς χορὸν αὐτοὺς καλοῦν.
ἡμῖν δ' οὔτις τοῦ: τὸν αἴαντα οὐ [illegible] προάγαγε τοῦ πολέμου ὃν ἐγνώρισεν [illegible] ἀπὸ [illegible] ἱκανὸς [illegible] πρᾶξαι τυχεῖν· [illegible] δὲ [illegible] τραυματίαι [illegible] ὁ δὲ [illegible] ἐπὶ τῶν [illegible] φαίνεσθαι ἀδύνατος.
βέλτερον: ἄμεινον καθ' ἕνα χρόνον [illegible] ἅπαξ συντόμως μᾶλλον ἢ [illegible] καὶ [illegible] πολυχρονίῳ μάχῃ [illegible] πολεμουμένοις.
ὑπ' ἀνδράσι χειροτέροισιν: ἀντὶ τοῦ ὑπ' ἀνδρῶν ἥσσον [illegible] ταῖς ἐπιφοραῖς [illegible] τὸ φρόνημα καὶ χείρους [illegible] νικῶντας τοὺς τρῶας· ἅμα [illegible] πρὸς [illegible] τροπὴν ἑλλήνων [illegible] χειρόνων [illegible].
σχεδίον περιμήδεος: ἄλλος ἐστὶν ὁ ἐν [illegible] ἰφίτου παῖς· ὁ δὲ σχεδίον μεγαθύμου ἰφίτου καὶ φωκὴ ὁ χάριτον.
φυλείδεω: τοῦ μέγητος ὁ γὰρ φυλεὺς [illegible] ἀπῴκησεν ἐπὶ τὰς ἐχινάδας νήσους.
ὕπαιθα λιάσθη: ἐς τὸ ἔμπροσθεν [illegible] [illegible] ἢ ὥς τινες [illegible] ὁρμηθείς· ὁ δὲ ἐπὶ τὸ ἔμπροσθεν ὁρμήσας ἄπρακτον τὴν ὁρμὴν ἐποίησεν.
οὐ γὰρ ἀπόλλων εἴα πάνθου υἱόν: ὡς τρωῒ καὶ ὅτι [illegible] τιμῶν τὸν πάνθουν δὲ [illegible] ἱερέα τοῦ ἀπόλλωνος.
λαμπετίδης: ὡς πάρος [illegible] ἀφ' οὗ τὸ λαμπετίδης.
φέρτατος: τῶν [illegible] ἀλλ' ὁ δόλοψ ὑπὸ ὁμηρικὸν ἁμαρτήσας [illegible] δόλοπα κλυτίδην.

Λαομεδοντιάδης· καὶ ἐν ἄλλοις Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε Λάμπον τε Κλυτίον τε· ἦν δὲ τὸ πατρωνυμικὸν αὐτοῦ Λαομεδοντιάδης· ὁ δὲ πλεονασμὸς τοῦ α, ὡς ἐπὶ τοῦ Λαερτιάδης·

γυάλοισιν· ἀπὸ τοῦ γυάλου θώρηκος, κύτος ἢ [illegible]·

ἐξ Ἐφύρης· τῆς ὑπὸ Ἤλιδα· ἧς καὶ ἀλλαχοῦ μνημονεύει· ἠὲ καὶ εἰς Ἐφύρην ἐθέλει πίειραν ἄρουραν· οἱ δὲ τῆς Θεσπρωτίας·

ποταμοῦ ἀπὸ Σελλήεντος· ποταμοῦ Ἤλιδος ὀνομαζομένου, ὃς ἐξ ἀπὸ Λασίωνος ὄρους ἐκρεῖ [illegible]·

Εὐφήτης· ζήτει περὶ τούτου τίς ἐστιν·

ἀλεωρήν· σκέπην τῶν ἀπὸ πολεμίων·

ὅς οἱ καὶ τότε ἤρκεσεν· περιττὸς ὁ στίχος· ἢ ἀναφορὰ πρὸς τὸ ἀνωτέρω πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ·

κύμβαχον· τὸ διάκενον τὸ ὑπὲρ τῆς κορυφῆς· ὅθεν καὶ κυμβία τοιαῦτα ποτήρια· ἃς τινὲς δὲ καὶ [illegible] παρὰ τὴν κεφαλὴν τὴν κεφαλὴν κύμβην λέγει· ὅθεν καὶ κύμβαχον λέγουσι τὸ ἄκρον τῆς κόρυθος· ἐπεξηγεῖται δὲ αὐτὸ διὰ τῆς ἑξῆς λέξεως τὸ ὄνομα ἐκ τοῦ ἀκροτάτου·

νέον φοίνικι φαεινός· φοινικοῦν χρώματι ἢ νῦν τι λέγει λαμπρός ἐστιν·

ἤλπετο νίκην· κατὰ τοῦ αὐτοῦ Δόλοπος·

ἐκάς· τὰ μὴ ἐπιπλαγίως ἀνὰ κατὰ τοῦ ἔμπροσθεν ἢ ὄπισθεν παρὰ τὸ ἐκάς·

βάλε δ' ὦμον· τὸν δεξιὸν τοῦ Δόλοπος· τὸν Μενέλαον μὲν τὰ γράμματα τοῦ σώματος ἔχοντα· ὁ δ' ἀντία τοῖς ἐχθροῖς ὅτι [illegible] Δόλοπος· τὰ δὲ ἀπὸ τῆς ἀσπίδος ἐσκεπασμένα·

κασιγνήτοισι· συγγενέσιν ἢ τοῖς ἀδελφοῖς· πρὸ δὲ τῶν ἀδελφῶν τὸν Μελάνιππον ὡς ἐξ ἄλλου [illegible] πρὸς ἴσον τοῖς συγγενέσι καὶ κασιγνήτοις καλεῖ· ὁμοίως δὲ ἐστὶ καὶ τὸ [illegible] κασιγνήτοισι τὸ ἑταίροις· κασιγνήτοισι ὅτι κασιγνήτοις μὲν τοῖς ἀνεψιοῖς ἐστιν·

ἐνένιπεν· ἐπέπληξεν ἀπὸ τῆς ἐνιπῆς ἥ ἐστιν ἐπίπληξις·

εἰλίποδας βοῦς· ἐπικαμπεῖς τοὺς πόδας πρὸς τὸ ὁπλὰς [illegible]· ἀντὶ τοῦ ὅτι Μελάνιππος [illegible] Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο ποιμαίνοντε Λάμπον τε Κλυτίον τε Ἱκετάονά τ' ὄζον Ἄρηος·

οὕτω δὴ Μελάνιππε· οὕτως ῥᾳθύμως πρόποσιν μεθήσομεν καὶ ἀπελευσόμεθα τῶν πραγμάτων·

Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς.
ὃς τότε Φυλείδαο μέσον σάκος οὔτασε δουρὶ
ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ·
τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
ἤγαγεν ἐξ Ἐφύρης ποταμοῦ ἄπο Σελλήεντος.
ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης
ἐς πόλεμον φορέειν δηΐων ἀνδρῶν ἀλεωρήν·
ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι·
ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
κάππεσεν ἐν κονίῃσι νέον φοίνικι φαεινός.
ὄφρ' ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην,
τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ·
κατὰ πλάτος
στῆ δ' ἐκὰς σὺν δουρὶ λαθών· βάλε δ' ὦμον ὄπισθεν·
κατὰ μεταφορὰν ἀπὸ τῶν φορητ
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα
ἀπεκλίθη
πρόσσω ἱεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.
ὁ Μέγης καὶ ὁ Μενέλαος ὡρμήθησαν
τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευσε
τὸν υἱὸν Ἱκετάονος
πᾶσι μάλα· πρῶτον δ' Ἱκεταονίδην ἐνένιπεν
ἴφθιμον Μελάνιππον· ὁ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
λαμψακηνῇ χώρᾳ · ἀπὸ τοῦ νόσφιν
βόσκ' ἐν Περκώτῃ δηΐων ἀπονόσφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
διέπρεπεν
ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι·
ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
τόν ῥ' Ἕκτωρ ἐνένιπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νύ σοί περ

[illegible]

[illegible] ἐπιστρέφεται τὸ μέρος

ἐντρέπεται φίλον ἦτορ ἀνεψιοῦ κταμένοιο;

οὐχ ὁράᾳς οἷον δόλοπος περὶ τεύχε' ἕπουσιν;

ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν ἀργείοισι

μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν, ἠὲ κατ' ἄκρης

ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαί τε πολίτας.

ὣς εἰπὼν ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.

ἀργείους δ' ὄτρυνε μέγας τελαμώνιος αἴας·

ὦ φίλοι ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ·

αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·

φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή.

ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον,

ἐν θυμῷ δ' ἐβάλοντο ἔπος, φράξαντο δὲ νῆας

ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ ζεὺς τρῶας ἔγειρεν.

ἀντίλοχον δ' ὄτρυνε βοὴν ἀγαθὸς μενέλαος·

ἀντίλοχ', οὔ τις σεῖο νεώτερος ἄλλος ἀχαιῶν,

οὔτε ποσὶν θάσσων, οὔτ' ἄλκιμος ὡς σὺ μάχεσθαι·

εἴ τινά που τρώων ἐξάλμενος ἄνδρα βάλοισθα.

ὣς εἰπὼν ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνεν·

ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ

ἀμφὶ ἓ παπτήνας· ὑπὸ δὲ τρῶες κεκάδοντο

ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν,

ἀλλ' ἱκετάονος υἱὸν ὑπέρθυμον μελάνιππον

νισόμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν·

δούπησεν δὲ πεσών· ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.

ἀντίλοχος δ' ἐπόρουσε κύων ὥς, ὅς τ' ἐπὶ νεβρῷ

βλημένῳ ἀΐξῃ, τόν τ' ἐξ εὐνῆφι θορόντα

θηρητὴρ ἐτύχησε βαλών· ὑπέλυσε δὲ γυῖα.

περὶ τεύχε' ἕπουσι: ἀντὶ περὶ τὰ τεύχη ἕπουσι· τὸ γὰρ ἕπω ἐν τοῖς [illegible] προσ[illegible] ὡς ἐπὶ [illegible] τὸ δὲ μεῖζον ἐπὶ καί. ἀντὶ τοῦ περὶ [illegible]

ἀλλ' ἕπευ: ἀλλ' ἕπου· οὐ γὰρ ἔτι πρὸς ἀργείους ἐκ ἀποστάσεως μάχεσθαι, πρὶν ἢ κατακτεῖναι αὐτοὺς ἢ ἐκ [illegible] ἡμᾶς ἑλόντας τὴν ἴλιον πορθῆσαι [illegible] μέγας [illegible] προσκεῖται [illegible] ἀκροατὴν [illegible] τοῦ ποιητοῦ προσοχήν.

κατ' ἄκρης: ὅ ἐστι [illegible] μέγα [illegible] κατ' ἄκρης οἱονεὶ [illegible] τὸ κῦμα.

αἰδομένων δ' ἀνδρῶν: τῶν αἰδουμένων ἀλλήλους [illegible] φροντιζομένων. πλέονες σώζονται [illegible] καὶ ἀδοξίαν [illegible] αὐτοῖς καταχεῖται.

ἀντίλοχον δ' ὄτρυνε: [illegible] αὐτοῖς φιλίαν διὰ τὴν [illegible] πρὸς φιλίαν [illegible] ὁ ποιητὴς [illegible] παρὰ [illegible] τῶν ὅρκων, πρὸ τοῦ πολέμου ἀρξάμενοι.

θάσσων: [illegible] οὐ γάρ οἱ [illegible] ποσὶν ἦν [illegible] τὸ δὲ οὐδ' ἄλκιμος [illegible] ἀντίλοχος ἀνὴρ [illegible]

ἐξάλμενος ἄνδρα βάλοισθα: [illegible] προστακτικοῦ [illegible]

ἀμφὶ ἓ παπτήνας: τὰ περὶ ἑαυτὸν σκοπήσας μή τις αὐτῷ [illegible] τῶν ἄλλων [illegible]

ὑπὸ δὲ τρῶες κεκάδοντο: ὑπὸ [illegible] αὐτοῦ ἀκοντίσαντος [illegible]

νισόμενον πόλεμον: οὐχ ὡς [illegible] αὐτοῦ πρὸς [illegible] ἀλλ' ὡς διὰ τὴν [illegible] ἕκτορος [illegible] ὁρμῶντα.

θορόντα: ἢ [illegible] ἐξαλλόμενον τῆς κοίτης.

ἐτύχησε βαλών: τυχὼν [illegible] τοιοῦτον ὁ ἀντίλοχος [illegible] ὡς [illegible] τοῦ ἀντιλόχου [illegible]

ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε: δαιμονίως περὶ ἀντιλόχου· ἡ φυγὴ τούτου κατὰ πρόνοιαν οὐ κατὰ δειλίαν γίνεται:— θηρὶ ἐοικώς: καλῶς οἰκεῖοι [illegible]
κυνηγοῦ γὰρ [illegible] φεύγοντι κύνα ἢ βουκόλον ἅμα κτείναντι· οὐ δὲ διότι τοιοῦτον ἀντίον, ἀλλ' ἔφοδον πλειόνων ἤγουν [illegible]:—
νηυσὶν ἐπεσσεύοντο· διὸς δ' ἐτέλειον ἐφετμάς: τοῦτο γὰρ ἔφη [illegible] ἀφίκωμαι καὶ τρέψω ἀργείους [illegible]:—
θέλγε: ἐπὶ τὸ χεῖρον [illegible] τὸν ἀκροατὴν προσδοκῶντα τὴν [illegible]:— ἀρήν: αἴτησιν καὶ γὰρ [illegible] αἴτιος παρὰ τοῦ θεοῦ τυχεῖν
ἢ τὴν καθ' ἑλλήνων [illegible] ὡς φιλόσοφος λοιδορεῖ τὸν ἀχιλλέα· θέτιδος ἐξαίσιον γὰρ τὴν ἔξω τοῦ αἰσίου [illegible] ὅτι [illegible] ὅπερ
σημαίνει τὸ αἴσιον:— τὸ γὰρ μένε μητίετα ζεύς: μεγαλοφυῶς θεατὴν καθίστησι τὸν δία τῶν γινομένων:—

ἀμφὶ βόεσσι [illegible]: ἐπειδὴ τοῖς ἀκροωμένοις ταῖς ἑλληνικαῖς συμφοραῖς [illegible] [illegible] μέλλοι [illegible] προσέθηκε [illegible]:—

μαίνετο δ' ὡς ὅτ' ἄρης: [illegible] τῷ σώματι καὶ [illegible] [illegible] ἀνδρεῖον καὶ σωφρονοῦντος ἄρεος· ὁ δὲ τὸ μαίνεσθαι προσέθηκεν· καὶ οὐ μέχρι τούτου [illegible] ἀλλ' ἀφροὺς τε [illegible] τὸ στόμα [illegible] καὶ τὰ ὄμματα λαμπ[illegible] [illegible]:—

ὡς ὅτ' ἄρης: πᾶσι τοῖς [illegible] [illegible] μαινομένῳ καὶ πυρὶ [illegible] [illegible]:—

τάρφεσιν: ἀπὸ τοῦ τάρφος· [illegible] δίχα τοῦ [illegible] καλῶς δὲ καὶ [illegible] [illegible]:—

ἀφλοισμός: ἀφρὸς κατὰ [illegible] [illegible] οἱ δὲ [illegible] τοὺς φλοῖς [illegible]:—

τὼ δέ οἱ ὄσσε: καὶ [illegible] [illegible]:—

ἀμφὶ δὲ πήληξ σμερδαλέον κροτάφοισι τινάσσετο: τετύπωκε τὴν κόρυθα μόνον ἕκτορος αὐτὸς [illegible] οὐδὲ [illegible] χρόνιε [illegible] ἀπὸ [illegible] καὶ τοῦ μαινομένου [illegible] ἕκτορος [illegible] ἀντὶ τοῦ δέ· ὡς [illegible] ἄνδρα [illegible] καὶ [illegible] τὰ [illegible] οὐ [illegible] [illegible] ὀφρα [illegible] [illegible] πρὸς [illegible] ποιητικῶς [illegible] τὸν ἀκροατὴν [illegible] [illegible]:—

ὣς ἐπὶ σοὶ μελάνιππε θόρ' ἀντίλοχος μενεχάρμης
τεύχεα συλήσων· ἀλλ' οὐ λάθεν ἕκτορα δῖον·
ὅς ῥά οἱ ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα·
ἀντίλοχος δ' οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής·
ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ἐοικώς,
ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσι
φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν.
ὣς τρέσε νεστορίδης· ἐπὶ δὲ τρῶές τε καὶ ἕκτωρ
ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο·
στῆ δὲ μεταστρεφθεὶς ἐπεὶ ἵκετο ἔθνος ἑταίρων·
τρῶες δὲ λείουσιν ἐοικότες ὠμοφάγοισι
νηυσὶν ἐπεσσεύοντο· διὸς δ' ἐτέλειον ἐφετμάς·
ὥστε ἀνεγείρειν μέγα [illegible]
ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα· θέλγε δὲ θυμὸν
ἀργείων καὶ κῦδος ἀπαίνυτο· τοὺς δ' ὀρόθυνεν·
ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
ἄδικον· τοὐναντίον [illegible] ὡς αἴσιμα τὰ κατὰ δίκην·
ἐμβάλοι ἀκάματον· θέτιδος δ' ἐξαίσιον ἀρὴν ἢ ὑπερ[illegible] μέτρον:—
πᾶσαν ἐπικρήνειε· τὸ γὰρ μένε μητίετα ζεύς,
νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι·
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θησέμεναι τρώων· δαναοῖσι δὲ κῦδος ὀρέξειν.
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν
ἕκτορα πριαμίδην μάλα περ μεμαῶτα καὶ αὐτόν.
μαίνετο δ' ὡς ὅτ' ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται βαθέης ἐν τάρφεσιν ὕλης·
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνετο· τὼ δέ οἱ ὄσσε
λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσιν· ἀμφὶ δὲ πήληξ

: ἀφρεῖσαι [illegible]
[illegible] [illegible]
[illegible]
καὶ [illegible]
ἀφλοισμός:

πυργηδόν: [illegible] τῷ κύματι [illegible] · ἡ δὲ τῶν Ἑλλήνων καρτερία τῷ τῆς πέτρας ἀκινήτῳ εἰκάζεται. —
τά τε προσερεύγεται ἀκτῇ: ὁ ῥιζὸς(?) αὐτῆς δηλονότι τὴν πέτραν ἤγουν τὰ ὑπὸ θαλάσσης πρὸς αὐτὴν ἐξωθούμενα. ×
ἐν δ' ἔπεσ' ὡς ὅτε κῦμα: πολυπλασιάζει τὰς παραβολὰς ὁ ποιητὴς πρὸς [illegible] τὰ πράγματα· ἡ δὲ [illegible] τὴν ὁρμὴν τοῦ κύματος [illegible] ἐπὶ τοῦ
προσκρούεται ἀνεμοτρεφές· [illegible] ἐπιπλεῖ [illegible] σφοδρὰν τὴν ὁρμὴν δηλοῖ. —
ὑπαὶ νεφέων ἀνεμοτρεφές: [illegible] ὑπὸ ἀνέμου ὡς εἶναι ὑποκάτω τῶν νεφῶν [illegible] αὐτοῖς· οἱ δὲ ἀνεμοτρεφές· τὸ [illegible] ἀνεμο-
τρεφὲς [illegible] ὁ δὲ κόμπος [illegible] τῶν ὀνομάτων. [illegible] ἀφρῷ κεκαλυμμένη. ×

σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
τίμα καὶ κύδαινε· μινυνθάδιος γὰρ ἔμελλεν
ἔσσεσθ'· ἤδη γάρ οἱ ἐπόρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφι.
καί ῥ' ἔθελεν ῥῆξαι στίχας ἀνδρῶν πειρητίζων,
ᾗ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·
ἀλλ' οὐδ' ὧς δύνατο ῥῆξαι μάλα περ μενεαίνων·
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
ἠλίβατος μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
κύματά τε τροφόεντα, τά τε προσερεύγεται ἀκτῇ·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο.
αὐτὰρ ὁ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ,
ἐν δ' ἔπεσ' ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι
λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές· ἡ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται,
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
αὐτὰρ ὅ γ' ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο νέμονται
μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔ πω σάφα εἰδὼς
θηρὶ μαχέσσασθαι ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
αἰὲν ὁμοστιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρούσας

ἡ δέ τε πᾶσα: πᾶσα δὲ ἡ ναῦς ἀφρῷ τοῦ κύματος κρύπτεται. ×

δεινὸς ἀήτης: ὁ ἀρρενικὸς δεινὸς ἀήτης· ἔνιοι δὲ [illegible] δεινὴ ἀήτη· ὡς κλυτὸς Ἀμφιτρίτη· ἡ δὲ ἀρσενικὴ ἐκφορὰ [illegible] ἀπορία [illegible] δεινός. ×

ναῦται: [illegible] αὐτόχθων πρὸς ἐπίτασιν τοῦ κινδύνου [illegible] ἐπιτάσεως [illegible] κινδύνου [illegible] ἐπὶ τοῖς ναύταις ὁ φόβος [illegible] κινδύνου [illegible] περιστασ[illegible]. ×

τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται: τοσοῦτον ἀπέχουσι τοῦ θανάτου [illegible] τὸ [illegible] τοῦ σκάφους ὅσον [illegible] ναῦται πόσον ἀπέχουσι τοῦ ὕδατος [illegible] ὡς τέσσαρας δακτύλους, τοσοῦτον [illegible] τοῦ θανάτου [illegible] μέσον ἐπὶ ναύταις. ×

ἐδαΐζετο: διεκόπτετο [illegible] πρὸς τὸ τελευταῖον τῆς παραβολῆς [illegible] τρομέουσι δέ τε φρένα ναῦται [illegible] ἀνεπιγραφῆς παραβολῆς —

ὥς τε λέων: [illegible] ἐφόδους λέοντος [illegible] ὁμοίως [illegible] ἐπί [illegible] πρόκειται γὰρ [illegible] τοὺς νομέας [illegible] ἀνεπιτήδειος [illegible] τοὺς λέοντας μάχεσθαι [illegible] παραβολ[illegible] ἐκ [illegible] ἐπὶ παράταξιν [illegible] ἐσκεδασμένοι ὥστε [illegible] ἀτάκτως. —

εἱαμενῇ: [illegible] τόπῳ [illegible] ἀνάδοσιν [illegible] τοῦ ὕδατος [illegible] νέμονται [illegible] ×

οὔ πω σάφα εἰδώς: ὁ κατὰ [illegible] ἐμπειρίαν [illegible] ἀλλὰ κατ' ἐμπειρίαν [illegible] τῆς πρὸς τὸ θηρίον μάχης [illegible] προσαφῆ [illegible] λαμπάδας [illegible]. ×

ἕλικος: [illegible] φονῆσι: τοῦ [illegible] φονικοῦ [illegible] τοῦ λέοντος. ×

πρώτῃσι καὶ ὑστατίῃσι βόεσσι: ὁ καὶ [illegible] τοὺς [illegible] ἀρχῇ [illegible] ποτὲ μὲν πρώτας ποτὲ δὲ ὑστέρας. ×

165

βοῦν ἔδῃ· αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ' ἀχαιοὶ
θεσπεσίως ἐφόβηθεν ὑφ' ἕκτορι καὶ διὶ πατρὶ
πάντες· ὁ δ' οἶον ἔπεφνε μυκηναῖον περιφήτην
κοπρῆος φίλον υἱὸν ὃς εὐρυσθῆος ἄνακτος
τ(ὰς) ἀγγελ(ίας) ἐπορεύετο παρ' αὐτοῦ ἰσχ(ύι)
ἀγγελίης οἴχνεσκε βίῃ ἡρακληείῃ·
οὐκ ἐξ ἡ σύγκρισις
τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
ἢ κατὰ [illegible]
παντοίας ἀρετὰς ἠμὲν πόδας ἠδὲ μάχεσθαι·
ἦν
καὶ νόον ἐν πρώτοισι μυκηναίων ἐτέτυκτο
ὑπερέχων
ὅς ῥα τόθ' ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε·
ὅτι φυλάττεται στρέφεσθαι [illegible] τὴν ἀσπίδα
στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγι πάλτο
τὴν αὐτὸς φορέεσκε ποδηνεκέ' ἕρκος ἀκόντων·
τῇ ὅ γ' ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος· ἀμφὶ δὲ πήληξ
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος·
ἕκτωρ δ' ὀξὺ νόησε· θέων δέ οἱ ἄγχι παρέστη·
στήθει δ' ἐν δόρυ πῆξε· φίλων δέ μιν ἐγγὺς ἑταίρων
κτεῖν'· οἱ δ' οὐκ ἐδύναντο καὶ ἀχνύμενοί περ ἑταίρου
χραισμεῖν· αὐτοὶ γὰρ μάλα δείδισαν ἕκτορα δῖον·
ἐντὸς ἔσωθεν αἱ νῆες ἀνεχώρουν τοῖς ἕλλησι
εἰσωποὶ δ' ἐγένοντο νεῶν· περὶ δ' ἔσχεθον ἄκραι
[illegible] προτεθειμέναι [illegible] [illegible] [illegible]
νῆες ὅσαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο·
ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
[illegible] ὑπὸ [illegible] οὐ γὰρ περὶ ἑαυτοὺς τῶν πρώτων κατὰ [illegible]
τῶν πρωτέων· αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν
κατὰ τὸ στρατόπεδον
ἀθρόοι· οὐδὲ κέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς
οἱ μὲν [illegible] οὐδὲ διεσπάρησαν
καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι·
νέστωρ αὖτε μάλιστα γερήνιος οὖρος ἀχαιῶν
[illegible] [illegible] [illegible]
λίσσεθ' ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον·
ὦ φίλοι ἀνέρες ἔστε καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ
ἄλλων ἀνθρώπων· ἐπὶ δὲ μνήσασθε ἕκαστος

ὑφ' ἕκτορι καὶ διὶ πατρί· [illegible] ἕκτορα [illegible] τοῦ διός :—

Κοπρῆος: κοπρεὺς [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

ἐκ πατρὸς χείρονος [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] ὁ λόγος :—

στρεφθεὶς γὰρ μετόπισθεν· [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

ἐν ἀσπίδος ἄντυγι πάλτο: [illegible] [illegible] [illegible] ὕπτιος [illegible] [illegible] [illegible] [illegible] ἐνὶ βλαφθείς :—

ἀμφὶ δὲ πήληξ· ἡ περικεφαλαία [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

αὐτοὶ γὰρ μάλα δείδισαν· [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] προδεῖξαι :—

εἰσωποὶ δ' ἐγένοντο νεῶν: [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

Κλισίῃσι: τέως μετὰ τὰς πρώτας [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

αἰδὼς καὶ δέος: [illegible] [illegible] [illegible] περὶ τῶν [illegible] :—

αἰδῶ θέσθε: [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

ὁ ς [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] :—

157

ἡ [illegible] ἐπακολουθῆσαι [illegible] καὶ ἔχει ἡ προτροπὴ τέχνην [illegible] ἀσφαλ[illegible] τοῦτο [illegible]
παῖδες: [illegible] οὕτως [illegible]
[illegible] οἷς μὲν ὁλοσχερῶς· οἷς δὲ μερικῶς· — τοῖσι δ' ἀπ' ὀφθαλμῶν: [illegible] οὐ γὰρ [illegible]
[illegible] τοῖς ἄλλοις θεοῖς [illegible] ἀλλὰ ποιήματα [illegible]
[illegible] ἀθηνᾶ [illegible] ὡς τὸ [illegible] ἀήρ [illegible]
[illegible] ὡς τὸ [illegible] — ὁ μὲν πρὸς νηῶν: [illegible] καὶ ἀντὶ τοῦ [illegible]
[illegible] ὅτι σκότος εἶχεν: —

παίδων ἠδ' ἀλόχων· καὶ κτήσιος ἠδὲ τοκήων
ἠμὲν ὅτεῳ ζώουσι καὶ ᾧ κατατεθνήκασι·
δοκεῖ τε ἐκείνης ὁρᾶν δεομένου
τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἀντὶ τοῦ τρωπᾶσθαι
ἑστάμεναι κρατερῶς· μὴ δὲ τρωπᾶσθε φόβονδε·
ὣς εἰπὼν ὄτρυνε μένος καὶ θυμὸν ἑκάστου·
τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν
ἠμὲν πρὸς νηῶν καὶ ὁμοιΐου πολέμοιο·
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδὲ μάχοντο
ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν·
οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ·
ἑστάμεν ἔνθα περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν
ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπῴχετο μακρὰ βιβάσθων·
νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσιν
κολλητὸν βλήτροισι δυωκαιεικοσίπηχυ·
ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν ἐῢ εἰδὼς
ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους
σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ δίηται
πολυπληθῆ
λαοφόρον καθ' ὁδόν· πολέες τέ ἑ θηήσαντο
ἀνέρες ἠδὲ γυναῖκες· ὃ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
θρῴσκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται· οἳ δὲ πέτονται·
[illegible]
ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
φοίτα μακρὰ βιβάς· φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν·
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευεν
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν· οὐδὲ μὲν Ἕκτωρ
τοῦ περιπτωμένου, τοῦ πλήθους
μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·

[illegible]

[illegible] ὁμοιΐου πολέμου: —

οὐδ' ἄρ' ἔτ' Αἴαντι: οὐ μόνον τοῖς [illegible] ἀλλὰ καὶ Αἴαντι ἐρρωμένος ὁ λόγος τοῦ ἥρωος: —

ἴκρια: [illegible] τὰ καταστρώματα [illegible] κατὰ πρῷραν καὶ πρύμναν [illegible] σανιδώματα· ἢ τὰ ἐξέχοντα ἄκρα· ἢ τὰς καταστρώσεις: —

μακρὰ βιβάσθων: ἀντὶ τοῦ μέγα [illegible] ἄγαν: —

δυωκαιεικοσίπηχυ: [illegible] τοῦ [illegible] πηχῶν δὲ καὶ [illegible] τρεῖς [illegible] βλήτροισι δὲ [illegible] ὡς φησί: —

κελητίζειν: [illegible] κελητίζειν [illegible] ἵπποις κέλησι [illegible] οὐ χρῶνται γὰρ οἱ Ἕλληνες κέλησι [illegible] ἀλλ' [illegible] αὐτοῦ [illegible] ἵπποι [illegible] ὅτι κέλησι [illegible] κέλησιν [illegible]: —

πίσυρας συναείρεται: συζεύγνυσι [illegible] συνάγεται [illegible] ἀντὶ τοῦ [illegible] ἐπὶ [illegible] κίνδυνος [illegible] ἐπ' ἄλλον: —

μέγα προτὶ ἄστυ: [illegible]: —

ὃ δ' ἀσφαλὲς αἰεὶ θρῴσκων: μέγα τὸ [illegible] ἀσφαλῶς [illegible] δὲ [illegible] ὁμοίως [illegible] ἀντὶ τοῦ [illegible] κατέχειν [illegible] ὡς τὸ αἰεὶ δ' ἡνίοχ[illegible] κονίης ῥαθάμιγγες: —

οὐδὲ μὲν Ἕκτωρ μίμνεν: [illegible] ἀλλὰ [illegible] ὡς τ' ὀρνίθων: ἀπὸ καταφρονήσεως [illegible] τὴν παραβολὴν ἐφεξῆς [illegible] τῶν δὲ [illegible] ἀλλ' [illegible] ἐφορμᾶται [illegible] αἴθων· ἢ θερμὸς ἢ ξανθὸς ἢ μέλας.

βοσκομενάων: [illegible] οἱ κύκνοι [illegible] τὰς γεράνους [illegible] τὰς χῆνας.

χειρί: [illegible] τῇ δυνάμει [illegible] ἐκπληκτικὸν τῆς φαντασίας· ἡ χεὶρ τοῦ Διός· μέχρι τῆς [illegible]

δριμεῖα: ὀξεῖα· ἀπὸ τῶν ὀσφραντῶν· ὡς ἡ νῦν ἀρχὴν τοῦ πολέμου λαμβάνουσα.

οὐκ ἔφασαν φεύξεσθαι: οὐκ ἔλεγον ὅτι ἀποφεύξονται [illegible] τῆς ὁρίας ἐμάχοντο· ἀλλ' ὅτι [illegible] ὡς μέχρι θανάτου μαχούμενοι ἢ φευξούμενοι· οἱ δὲ Τρῶες ἐλπίζοντας [illegible] ἐμπρήσειν καὶ τοὺς Ἀχαιοὺς κτενεῖν.

νῆας ἐνιπρῆσαι: ὅμοιον τῷ [illegible] Ἕκτορι [illegible] πατρίδα.

ὠκυάλου: [illegible] ἀλλὰ [illegible] ὡς ἐπὶ τοῦ [illegible]

ἣ Πρωτεσίλαον ἔνεικεν: [illegible] Ἕκτορα [illegible] Πρωτεσιλάου [illegible] ὁ Ἕκτωρ [illegible] Πρωτεσιλάου [illegible] τὰ δὲ [illegible] ὅμοιον δὲ [illegible] ἐκ λίμνης [illegible]

τόξων: [illegible] ἀμφίς· χωρὶς [illegible] ὡς Κρόνον ἀμφὶς ἐόντα· ἀϊκάς· [illegible] οἱ δὲ ἀπὸ τοῦ ἀϊκή [illegible]

μελάνδετα: σιδηρόδετα [illegible] μέλας διὰ τὸ ὁ σίδηρος [illegible] μέλαιναν [illegible] ἔχοντα τὴν λαβήν [illegible] οἱ δὲ [illegible] τὴν λαβήν.

ἄλλα μὲν ἐκ χειρῶν: ἐν ταῖς χερσὶν [illegible] ἀλλὰ [illegible] ὤμοις [illegible] διὰ δὲ τοῦ [illegible] πέσον.

οὐχὶ μεθίει: ὅτι [illegible] οὐκ [illegible] ὡς τὸ [illegible] οὐκ [illegible] ὡς [illegible]

ὡς τ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων

ἔθνος ἐφορμᾶται ποταμὸν πάρα βοσκομενάων

χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων.

ὣς Ἕκτωρ ἴθυσε νηὸς κυανοπρῴροιο

ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦσεν ὄπισθεν

χειρὶ μάλα μεγάλῃ· ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῷ.

αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη·

φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν

ἄντεσθ' ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.

τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος· ἤτοι Ἀχαιοὶ

οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ ἀλλ' ὀλέεσθαι

Τρωσὶ δ' ἔλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου

νῆας ἐνιπρήσειν κτενέειν θ' ἥρωας Ἀχαιούς·

οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν·

Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο

καλῆς ὠκυάλου ἣ Πρωτεσίλαον ἔνεικεν

ἐς Τροίην· οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν·

τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε

δῄουν ἀλλήλους αὐτοσχεδόν· οὐδ' ἄρα τοί γε

τόξων ἀϊκὰς ἀμφὶς μένον οὐδ' ἔτ' ἀκόντων·

ἀλλ' οἵ γ' ἐγγύθεν ἱστάμενοι ἕνα θυμὸν ἔχοντες,

ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο

καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι·

πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα

ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων

ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.

Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν οὐχὶ μεθίει πῆς· ἄφλαστον· ἢ ἐπερωτηματικὴ [illegible] ἄφθαρτον [illegible]

ἄφλαστον μετὰ χερσὶν ἔχων· Τρωσὶν δὲ κέλευεν·

ἅμα τῇ κραυγῇ καὶ δέος ἐπῆλθε τοῖς πολεμίοις

οἴσετε πῦρ· ἅμα δ᾽ αὐτοὶ ἀολλέες ὄρνυτ᾽ ἀϋτήν·
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκεν
νῆας ἑλεῖν· αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι
ἡμῖν πήματα πολλὰ θέσαν κακότητι γερόντων·

ὅτι κατάρχουσιν ἀμφὶ τοὺς ἐθέλοντας

οἵ μ᾽ ἐθέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν
αὐτόν τ᾽ ἰσχανάασκον ἐρητύοντό τε λαόν·
ἀλλ᾽ εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεὺς
ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.
ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα μᾶλλον ἐπ᾽ Ἀργείοισιν ὄρουσαν.
Αἴας δ᾽ οὐκέτ᾽ ἔμιμνε· βιάζετο γὰρ βελέεσσιν·
ἀλλ᾽ ἀνεχάζετο τυτθὸν ὀϊόμενος θανέεσθαι
θρῆνυν ἐφ᾽ ἑπταπόδην· λίπε δ᾽ ἴκρια νηὸς ἐΐσης.
ἔνθ᾽ ἄρ᾽ ὅ γ᾽ ἑστήκει δεδοκημένος· ἔγχεϊ δ᾽ αἰεὶ

ἢ κατα

Τρῶας ἄμυνε νεῶν ὅς τις φέροι ἀκάματον πῦρ·
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευεν·
ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος,
ἀνέρες ἔστε φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω;

μέλλον οὐ καλῶς [illegible]

ἠέ τι τεῖχος ἄρειον, ὅ κ᾽ ἀνδράσι λοιγὸν ἀμύναι;

οὕτως Ἀρίσταρχος χωρὶς τοῦ σ· [illegible] οὐ μέντοι

οὐ μέν τι σχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα,

ἐν ᾗ ἐπιφυγόντες ἀμυνούμεθα

ᾗ κ᾽ ἀπαμυναίμεσθ᾽ ἑτεραλκέα δῆμον ἔχοντες.

ὡς ἀπὸ τοῦ ποιητικοῦ προσώπου

ἀλλ᾽ ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων

διατρίβομεν

πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα πατρίδος αἴης·

[illegible]

τῶ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο.

καίτοι πολέμου χωρὶς [illegible]

ἦ καὶ μαιμώων ἔφεπ᾽ ἔγχεϊ ὀξυόεντι.

ἐν ἐπὶ κώσ

ὅς τις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο.

ἄφλαστον: οὐ τὸ ἀκροστόλιον, ἀλλὰ τὸ ἐπὶ
τῆς πρύμνης ἐξέχον [illegible] ἐκ
κανονίων πλατέων. δοκοῦντος δὲ αὐτοῦ
πλατέος κανονίου ὀνομαζομένου
μὲν θρανίτου· ὑπερ[illegible]
τοῦ [illegible] τοῦ [illegible]
κρέμανται ἐκ τῶν κανονίων τοῦ θρα-
νίτου ταινίαι. ἀκροστόλιον δὲ τὸ
ἀπὸ τῆς πρώρας ἀνατεῖνον ἐπὶ πέρας·
πρῴρα δέ ἐστιν ὅπου ζωγραφοῦσι τοὺς ὀφθαλμούς
ἢ τὸ τῆς νηὸς ἐπιγράφονται ὄνομα.

οἴσετε: ἀντὶ φέρετε· οὐ τὰ μέλλοντα δὲ
ἀλλ᾽ ἐξ αὐτοῦ οἴσω [illegible]

νῦν ἡμῖν: ἀντὶ πάντων τῶν πρὶν [illegible]
ἡμέραν ὁ Ζεὺς ἐχαρίσατο. ἄλλως
πρότερον [illegible] θεῶν μολοῦσαι
ἡ ἡμῖν πήματα ἔθεσαν θεῶν ἀέκητι.

κακότητι γερόντων: [illegible]
ἰδίαν [illegible] τοῖς γέρουσι Πριάμου
[illegible]

ἀνώγει: [illegible]
[illegible] ἀλλὰ [illegible]
[illegible]

ἀνεχάζετο: ὀπίσω ἐχώρει [illegible]
[illegible]

ὀϊόμενος θανέεσθαι: οἰόμενος ἀπο-
θανεῖσθαι μᾶλλον ἢ παραχωρήσειν
[illegible]

θρῆνυν: τὴν [illegible] κώπην [illegible] καθέδρα
ἢ τὴν τοῦ κυβερνήτου· [illegible] καὶ δὲ
θρᾶνον τὸν τοῦ κωπηλάτου [illegible] καὶ
θρανίτας αὐτούς.

ἠέ τινας φαμέν: ἆρα [illegible]
ἐπικούρους μετὰ ταῦτα· [illegible]
[illegible] τὸ μὲν ἐρωτήσεως
τὸ δὲ ἀποφάσεως ἔχον.

ἑτεραλκέα δῆμον ἔχοντες: [illegible] δῆ-
μ[illegible] ἔχοντες. οἱ δὲ τὸ ἀπὸ τῆς
[illegible] δῆμον ἔχοντες· ἑτεραλκῆ μὲν [illegible]
[illegible] ποιοῦντα.

πόντῳ κεκλιμένοι: παρακείμενοι·
[illegible] ὥσπερ τρισὶ δὲ [illegible]
[illegible] ἐμφαντικῶς [illegible] πέφρακται.

οὐ μειλιχίῃ: σὺν τῷ ι τὸ μειλιχίῃ·
[illegible] τοιούτ[illegible] τοῦ πολέ-
μου ἡμῖν ἐν ταῖς χερσίν [illegible]
μειλιχίᾳ [illegible] ἢ οὕτως· τοῦ
πολέμου φῶς ἐν χερσίν [illegible] προ-
σ[illegible] πολέμου [illegible]
τὸ μειλιχίῃ [illegible]
προσ[illegible] πολέμου [illegible]
[illegible]

β χάριν ἕκτορος ὀτρύναντος: ἤτοι τῇ τοῦ ἕκτορος χάριτι [illegible] :-

α Ὣς οἱ μὲν περὶ νηὸς: οὗτοι περὶ ἕκτορα [illegible] ἀλλὰ [illegible] ἀμφότεροι [illegible] [illegible] [illegible] ἀρχῆς [illegible] [illegible] [illegible]

δάκρυα θερμά: [illegible] [illegible] [illegible] [illegible] :-

σὺν πυρὶ κηλείῳ χάριν ἕκτορος ὀτρύναντος.

τὸν δ' αἴας οὔταζε δεδεγμένος ἔγχεϊ μακρῷ·

δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα:—

## ἰλιάδος π

Ὣς οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·

πάτροκλος δ' ἀχιλῆϊ παρίστατο ποιμένι λαῶν

δάκρυα θερμὰ χέων ὥστε κρήνη μελάνυδρος,

ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.

τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος ἀχιλλεύς,

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

τίπτε δεδάκρυσαι πατρόκλεες ἠΰτε κούρη

νηπίη ἥθ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει

εἱανοῦ ἁπτομένη καί τ' ἐσσυμένην κατερύκει,

δακρυόεσσα δέ μιν ποτιδέρκεται ὄφρ' ἀνέληται.

τῇ ἴκελος πάτροκλε τέρεν κατὰ δάκρυον εἴβεις.

ἠέ τι μυρμιδόνεσσι πιφαύσκεαι ἢ ἐμοὶ αὐτῷ,

ἠέ τιν' ἀγγελίην φθίης ἐξέκλυες οἶος;

ζώειν μὰν ἔτι φασὶ μενοίτιον ἄκτορος υἱόν,

ζώει δ' αἰακίδης πηλεὺς μετὰ μυρμιδόνεσσι,

τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.

ἠὲ σύγ' ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται

νηυσὶν ἔπι γλαφυρῇσιν ὑπερβασίης ἕνεκα σφῆς·

ἐξαύδα μὴ κεῦθε νόῳ ἵνα εἴδομεν ἄμφω.

τὸν δὲ βαρυστενάχων προσέφης πατρόκλεες ἱππεῦ·

ὦ ἀχιλεῦ πηλέως υἱὲ μέγα φέρτατ' ἀχαιῶν

μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν ἀχαιούς.

ε [illegible] [illegible] [illegible]

ς [illegible] [illegible] [illegible]

θ μενοίτιον: [illegible] [illegible] [illegible]

ι [illegible] [illegible] [illegible]

ὦ ἀχιλεῦ πηλέως υἱὲ μέγα φέρτατ' ἀχαιῶν: [illegible] [illegible]

μὴ νεμέσα: [illegible] [illegible] [illegible] θ [illegible] ... οὐδὲν ὀνήσονται οἱ ἄλλοι [illegible] ... [illegible] ... [illegible] ... παρ' ἐκείνου [illegible]

θ οἱ μὲν γὰρ δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι,
ἐν νηυσὶ κέαται βεβλημένοι οὐτάμενοί τε·
βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης·
οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων·
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ·
τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται
ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλευ Ἀχιλλεῦ.
μὴ ἐμέ γ' οὖν οὗτός γε λάβοι χόλος ὃν σὺ φυλάσσεις
αἰναρέτη· τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς
νηλεές· οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα,
πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
ἠ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κέ με σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
ὣς φάτο λισσόμενος μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
οἷ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
⊗ ὤ μοι διογενὲς Πατρόκλεες οἷον ἔειπες·

[illegible] ... οὐ ... [illegible]

ἀμφιπένον(ται): ἀμφὶ αὐτοὺς πονοῦσιν [illegible] ... ἰατροί [illegible] ... ἰατρούς [illegible] ... οὕτω εἶδον

σὺ δ' ἀμήχανος: ἄπορος [illegible] ... ἰατροί [illegible]

χόλος: [illegible]

ἠλίβατοι: [illegible]

γλαυκὴ δέ σε τίκτε θάλασσα: [illegible]

μέγα νήπιος: [illegible]

αἰναρέτη: [illegible]

ἠ δέ τινα φρεσί: [illegible]

ἴσκοντες: ὁμοιοῦντες [illegible]

[illegible]

ὀλίγη δέ τ' ἀνάπνευσις: [illegible]

λιτέσθαι: [illegible]

⊗ ὤ μοι διογενές: [illegible]

EPIC
POEM
.ORG
DIGITAL CLASSICS

SeaHandPress.com is pleased to make this PDF edition of each book of Burney MS 86 (xi CE, also known as the Townley Homer) available to the public for free subject to the Creative Commons Attribution-Noncommercial-Share Alike 3.0 License that may be reviewed here: https://creativecommons.org/licenses/by-nc-sa/3.0/.

This PDF is not subject to the Sea Hand Press license for personal use, and SeaHandPress.com does not claim a copyright in it.

One could at one time view hi-res images of this manuscript for free on screen using a Universal Viewe here: https://www.bl.uk/manuscripts/FullDisplay.aspx?ref=Burney_MS_86&index=88. However, online access to this important manuscript of the Iliad has been unavailable since the hack of the British Library in October 2023.

SeaHandPress.com asked Julian Harrison, Lead Curator, Historical and Literary Manuscipts at the British Library, the following question by email:

> “If I were do download each page of a public domain manuscript from the Universal Viewer, convert each page to PDF format, crop each of the PDF pages, then compile those PDF pages into a single PDF, could I do whatever I wanted with that PDF (e.g. post it to archive.org)?"

Mr. Harrison responded, “Our terms do not prevent you from making and sharing a PDF in the way you describe.”

The digital bookmark of each PDF page identifies the first and last line number and folio page number. Please forward any corrections to editor@seahandpress.com.